BYZANTINE GREEK SERIES · VOLUME 87

The Life of Basil

Constantine VII Porphyrogennetos


ΙΣΤΟΡΙΚΗ ΔΙΗΓΗΣΙΣ ΤΟΥ ΒΙΟΥ ΚΑΙ ΤΩΝ ΠΡΑΞΕΩΝ ΒΑΣΙΛΕΙΟΥ

The Life of Basil

---

with a word-for-word interlinear English translation

preserving the original word order




CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 87 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Immanuel Bekker's text
in Theophanes Continuatus (Bonn, 1838), Book V

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The margin gives the edition's chapter numbers.

CONTENTS

1–7 · Lineage and Boyhood 7
8–13 · Into the City and the Emperor's Service 24
14–19 · Chamberlain, Bardas's Fall, and Co-Emperor 41
20–26 · Michael's Misrule 59
27–33 · Michael's Death and Basil's First Reforms 76
34–42 · Conspiracy, Heirs, the Army, and the East 93
43–49 · Chrysocheir's Head and the Syrian Campaign 112
50–56 · Andrew, Styppiotes, and the West 128
57–65 · Soldanos's Revenge and the Fleets 146
66–72 · Losses, Syracuse, and the Emperor's Life 164
73–84 · Gifts Remembered and the Churches Restored 181
85–90 · The Palace Buildings 199
91–102 · Endowments, Conversions, Sorrows, and Death 216

ΙΣΤΟΡΙΚΗ ΔΙΗΓΗΣΙΣ ΤΟΥ ΒΙΟΥ ΚΑΙ ΤΩΝ ΠΡΑΞΕΩΝ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΒΑΣΙΛΕΩΣ, ΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΒΑΣΙΛΕΥΣ ΕΝ ΘΕΩΙ ΡΩΜΑΙΩΝ, Ο ΤΟΥΤΟΥ ΥΙΩΝΟΣ, ΦΙΛΟΠΟΝΩΣ ΑΠΟ ΔΙΑΦΟΡΩΝ ΑΘΡΟΙΣΑΣ ΔΙΗΓΗΜΑΤΩΝ ΤΩΙ ΓΡΑΦΟΝΤΙ ΠΡΟΣΑΝΕΘΕΤΟ

1–7 · LINEAGE AND BOYHOOD

Wanting to write the whole history of Roman rule but lacking time and books, Constantine takes the second course: the life of his grandfather Basil. Basil came from Macedonia but drew his race from the Armenian Arsacids, an exiled line the emperors moved to Nike, Philippi, and at last Adrianople; through his mother he claimed kin with Constantine the Great. When Krum took Adrianople the infant was carried into Bulgaria, where kinsmen died as martyrs; on the return an eagle three times shaded the child asleep in the field. His father dead, he planned to go to the reigning city, but longing for his mother held him back.

῏Ην μὲν προθυμία καὶ ἔφεσις ἐκ πολλοῦ ἐμπειρίαν 1
there-was indeed eagerness and desire from long-ago experience
πραγμάτων καὶ γνῶσιν ταῖς τῶν σπουδαιοτέρων ἐμφυτεῦσαι
of-affairs and knowledge in-the of-the more-earnest to-implant
διανοίαις διὰ τοῦ ἀειμνήστου καὶ ἀθανάτου τῆς ἱστορίας
minds through the ever-remembered and immortal of-the history
στόματος, καὶ ἐβουλόμην, ἂν ἄρα οἷός τε ὦ, τοῦ
mouth and I-wished if then able — I-be of-the
σύμπαντος τῆς ἐν Βυζαντίῳ Ῥωμαϊκῆς ἀρχῆς χρόνου τῶν
whole of-the in Byzantium Roman rule time of-the
τε αὐτοκρατόρων καὶ τῶν ὑπ᾽ αὐτοὺς ἀρχόντων καὶ
both emperors and of-the under them rulers and
στρατηγῶν καὶ ὑποστρατήγων καὶ τῶν καθ᾽ ἕκαστα
generals and lieutenant-generals and of-the(-men) in particular

τὰς ἀξιολογωτέρας τῶν πράξεων ἀναγράψασθαι. ἐπεὶ δὲ
the more-notable of-the deeds to-record since but
ἐδεῖτο τὸ πρᾶγμα καὶ χρόνου πολλοῦ καὶ πόνου συχνοῦ
needed the thing both time much and toil great
καὶ βιβλίων ἀφθονίας καὶ σχολῆς τῆς ἀπὸ τῶν
and of-books abundance and leisure the(-leisure) from the
πραγμάτων, ταῦτα δ' ἡμῖν οὐ προσῆν, εἰς τὸν δεύτερον
affairs these-things but to-us not were-present to the second
ἐξ ἀνάγκης ὑποβέβηκα πλοῦν, καὶ τέως ἑνὸς βασιλέως,
from necessity I-have-come-down voyage and meanwhile of-one emperor
ἐπὶ μέγα τὸ τῆς βασιλείας κράτος ὑψώσαντος, ὃς καὶ
to great the of-the empire power having-raised who also
τῆς βασιλείας ἐπώνυμος ἦν καὶ μέγα ὄφελος τῇ πολιτείᾳ
of-the kingship namesake was and great benefit to-the state
Ῥωμαίων ἐγένετο καὶ τοῖς πράγμασιν, ἐξ ἀρχῆς καὶ
of-Romans became and to-the affairs from beginning and
μέχρις αὐτῆς τελευτῆς τὰς πράξεις καὶ τὴν ὅλην ἀγωγὴν
until very end the deeds and the whole conduct
διηγήσασθαι, ὡς ἂν καὶ τοῖς μετέπειτα μὴ ἀγνοῆται
to-narrate so-that — also to-the(-men) after not may-be-unknown
βασιλείου στελέχους ἐπὶ πολὺ τοῦ χρόνου παρεκταθέντος
of-imperial stock to much of-the time having-been-extended
ἡ πρώτη πηγὴ καὶ ῥίζα, καὶ τοῖς ἐκγόνοις ἐκείνου οἴκοθεν
the first spring and root and for-the descendants of-that-one from-home
εἴη ἀνεστηκὼς ὁ πρὸς ἀρετὴν κανών τε καὶ ἀνδριὰς
may-be set-up the toward virtue rule both and statue
καὶ τὸ ἀρχέτυπον τῆς μιμήσεως. εἰ δὲ ἐπιμετρηθείη καὶ
and the archetype of-the imitation if but should-be-measured-out also
χρόνος ἡμῖν ἔτι ζωῆς, καὶ γένηταί τις καὶ ἀπὸ τῶν νόσων
time to-us still of-life and there-be some also from the diseases
ἐκεχειρία μικρά, καὶ μηδὲ τῶν ἔξωθεν εἴη τι
truce small and nor-even of-the(-things) outside be anything

ἐμποδών, ἴσως προσθῶμεν ἐχομένως καὶ τῆς ἄχρις ἡμῶν
in-the-way perhaps we-may-add next also of-the as-far-as us
κατιούσης αὐτοῦ γενεᾶς τὴν ὅλην τῆς ἱστορίας ἀφήγησιν.
descending his line the whole of-the history narration
Πλὴν οὖν οὗτος ὃν ὁ λόγος νῦν ὑποδεῖξαι κατεπαγγέλλεται, 2
but then this-one whom the account now to-show promises
αὐτοκράτωρ Βασίλειος ὡρμᾶτο μὲν ἐκ τῆς Μακεδόνων
emperor Basil set-out indeed from the of-Macedonians
γῆς, τὸ δὲ γένος εἵλκεν ἐξ Ἀρμενίων ἔθνους Ἀρσακίων.
land the but race drew from of-Armenians nation of-Arsacids
τοῦ γὰρ παλαιοῦ Ἀρσάκου, ὃς Πάρθων ἡγήσατο, ἐπὶ μέγα
of-the for old Arsaces who Parthians led to great
δόξης προελθόντος καὶ ἀρετῆς, νόμος τοῖς ὕστερον
of-glory having-advanced and of-virtue law for-the(-men) later
ἐχρημάτισε μὴ ἄλλοθεν βασιλεύεσθαι μήτε Πάρθους
was-established not from-elsewhere to-be-ruled either Parthians
μήτε Ἀρμενίους, ἀλλὰ μηδὲ Μήδους, ἢ παρὰ τοῦ
or Armenians but not-even Medes than from the
γένους Ἀρσάκου καὶ τῶν ἀπογόνων αὐτοῦ. οὕτως οὖν
race of-Arsaces and the descendants his so then
τῶν εἰρημένων ἐθνῶν ὑπὸ τῆς τοιαύτης βασιλευομένων
of-the said nations by the such being-ruled
σειρᾶς, κατά τινας χρόνους τοῦ Ἀρμενίων κατάρχοντος
line at some times of-the of-Armenians ruler
ἐξ ἀνθρώπων ἀποιχομένου συνέβη στάσιν γενέσθαι περὶ
from men having-departed it-happened faction to-arise about
τὰ βασίλεια καὶ τοὺς διαδόχους τῆς τοιαύτης ἀρχῆς.
the palace and the successors of-the such rule
Ἀρτάβανος οὖν καὶ Κλειένης οὐ μόνον τῆς προγονικῆς
Artabanus then and Cleienes not only from-the ancestral
ἐκπεπτωκότες ἀρχῆς, ἀλλὰ καὶ τὴν ζωὴν κινδυνεύοντες, τὴν
having-fallen rule but also the life being-in-danger the

βασιλεύουσαν ταύτην καταλαμβάνουσι Κωνσταντινούπολιν.
reigning this reach Constantinople
Λέων ἦν ὁ μέγας τηνικαῦτα τὴν Ῥωμαϊκὴν διέπων ἀρχήν,
Leo was the great then the Roman administering rule
ὁ Ζήνωνος πενθερός. οὗτος οὖν τοὺς ἄνδρας ὑποδεξάμενος
the of-Zeno father-in-law this-one then the men having-received
καὶ ἀξίως τῆς περὶ αὐτοὺς εὐγενείας φιλοφρονησάμενος
and worthily of-the about them noble-birth having-welcomed
οἴκησίν τε καὶ δίαιταν τὴν προσήκουσαν ἐν τῇ βασιλίδι
dwelling both and living the fitting in the queen-city
ἀπένειμε. μαθὼν δὲ τῶν ἀνδρῶν τὴν ἐκ τῆς πατρίδος
assigned having-learned but of-the men the from the fatherland
φυγὴν καὶ πρὸς τὴν βασιλεύουσαν ταύτην καταφυγήν, καὶ
flight and to the reigning this refuge and
ὡς εὐμενῶς ὑπὸ τῶν κρατούντων ἐδέχθησαν, ὁ τότε
how kindly by the rulers they-were-received the(-one) then
τὰ τῆς Περσικῆς διέπων ἀρχῆς γράμμασιν αὐτοὺς
the(-affairs) of-the Persian administering rule by-letters them
μετεκαλεῖτο, εἰς τὴν πατρῴαν ἡγεμονίαν ἐγκαταστῆσαι
summoned to the paternal rule to-install
δῆθεν ὡς εὐνοῶν ὑπισχνούμενος, ἑαυτῷ δὲ τὴν τοῦ
forsooth as being-well-disposed promising for-himself but the of-the
ἔθνους ἐντεῦθεν ὑποταγὴν μνηστευόμενος. δεξαμένων δὲ
nation thence subjection wooing having-received but
τούτων τὰ γράμματα καὶ περὶ τῶν πρακτέων ἔτι
these the letters and about the(-things) to-be-done still
διασκοπουμένων, μηνύεται ταῦτα παρά τινος τῶν
deliberating are-reported these-things by some of-the(-ones)
ἐξυπηρετούντων αὐτοῖς τῷ βασιλεῖ, καὶ ἡ ἐπιστολὴ
serving them to-the emperor and the letter
ἐγχειρίζεται. γνωσθέντος δὲ τοῦ πράγματος, ὡς οὐκ αὐτοῖς
is-handed-over having-been-known but the thing that not for-them

τοσοῦτον τὴν ἀρχὴν ὅσον ἑαυτῷ τὸ ἔθνος ὁ Πέρσης
so-much the rule as for-himself the nation the Persian
ὑποτάξαι βουλόμενος τὴν τούτων ἐποιεῖτο μετάπεμψιν,
to-subject wishing the of-these be-made summoning
ὅπερ οὔτε τοῖς καλουμένοις οὔτε τῶν Ῥωμαίων
which neither for-the(-ones) called nor of-the Romans
ἐλυσιτέλει τοῖς πράγμασιν, πρόνοια γίνεται τοῦ μὴ τὸ
profited for-the affairs forethought is-taken for-the not the
τοῖς Πέρσαις δοκοῦν εἰς πέρας ἐλθεῖν. καὶ διὰ τοῦτο
to-the Persians seeming-good to end to-come and because-of this
ὑποτεμνομένου τοῦ βασιλέως τήν, εἰ τύχοι, εὐχέρειαν
cutting-off the emperor the if it-should-happen ease
τοῦ δρασμοῦ μετ᾽ εὐπρεποῦς τοῦ σχήματος, ὡς ἐπ᾽
of-the flight with seemly the pretext as to
εὐρυχωρίας δῆθεν καὶ ἀδείας πλείονος, εἰς Νίκην τὴν κατὰ
spaciousness forsooth and security greater to Nike the in
Μακεδονίαν πόλιν μετὰ γυναικῶν καὶ τέκνων (καὶ αὗται
Macedonia city with wives and children also these
γὰρ μετὰ ταῦτα αὐτοῖς ὑπεκλάπησαν) μετοικίζονται.
for after these-things for-them were-stolen-away are-resettled
τοῦ δὲ χρόνου ῥέοντος καὶ τῶν Σαρακηνῶν ἐπὶ μείζονος
of-the but time flowing and of-the Saracens to greater
δυναστείας προαγομένων, τὴν ὁμοίαν πεῖραν τοῖς τῶν
dominion being-advanced the like attempt on-the of-the
προτέρων ἀπογόνοις Ἀρσακιδῶν ὁ τότε ἀμερμνουνὴς
earlier descendants Arsacids the then commander-of-the-faithful
προεβάλετο, καὶ διὰ γραμμάτων μετεκαλεῖτο αὐτοὺς εἰς
put-forward and through letters summoned them to
τὴν προγονικὴν δῆθεν ἐξουσίαν τε καὶ ἀρχήν. φωραθέντος
the ancestral forsooth authority both and rule having-been-detected
δὲ καὶ τοῦ τοιούτου δράματος Ἡρακλείῳ τῷ τηνικαῦτα
but also of-the such drama by-Heraclius the then

βασιλεῖ, καὶ τῶν γραμμάτων ἐγχειρισθέντων, ἐπεὶ μὴ
emperor and of-the letters having-been-handed-over since not
εὐνοίᾳ τούτων ἔγνω τὴν μετάπεμψιν γενομένην ἀλλ' εἰς
in-goodwill toward-these he-knew the summoning having-happened but for
πρόθεσιν οἰκείας ἐπικρατείας τῶν ταῦτα μηχανωμένων
purpose of-own dominion of-the(-ones) these-things contriving
(ἤλπιζον γὰρ τὸ ἔθνος ἐκ τῆς πρὸς τὸν παλαιὸν Ἀρσάκην
they-hoped for the nation from the toward the old Arsaces
εὐνοίας ῥᾳδίως, εἰ τούτους ἔχοιεν μεθ' ἑαυτῶν, προσάξεσθαι
goodwill easily if these they-had with themselves to-win-over
οἱ Σαρακηνοί), διὰ τοῦτο καὶ εἰς Φιλίππους, μίαν
the Saracens because-of this also to Philippi one
καὶ αὐτὴν τῶν κατὰ Μακεδονίαν τυγχάνουσαν πόλεων,
also itself of-the in Macedonia happening-to-be cities
ὡς ἐπὶ μείζονος ἀσφαλείας μετῴκισε τούτους αὖθις
as for greater safety resettled these again
ὁ βασιλεύς· εἶτα ἐκεῖθεν πάλιν ὡς ἐπὶ λαμπροτέρας
the emperor then from-there again as to more-splendid
πολιτείας καὶ καταστάσεως μετεβίβασεν εἰς Ἀδριανούπολιν.
polity and condition transferred to Adrianople
εὐθέτου δὲ τοῦ τόπου φανέντος αὐτοῖς, κατ' ἰδίαν ὥσπερ
convenient but the place having-appeared to-them by own as-if
συνεστηκότες φατρίαν τε καὶ φυλὴν εἰς πλῆθος ἐγένοντο
formed clan both and tribe into multitude they-became
καὶ ἐπ' εὐπορίας κατέστησαν ἱκανῆς, τὴν πάτριον εὐγένειαν
and in prosperity were-set sufficient the ancestral nobility
διασῴζοντες καὶ ἀσύγχυτον τὸ γένος διαφυλάττοντες.
preserving and unconfused the race guarding

3 Χρόνους δὲ ὕστερον, ἡνίκα Κωνσταντῖνος μετὰ Εἰρήνης
times but later when Constantine with Irene
τῆς μητρὸς ἐβασίλευεν, Μαΐκτης ἐκεῖνος, ἀφ' αἵματος
the mother reigned Maiktes that-one from blood

Ἀρσάκου καὶ αὐτὸς ὤν, κατά τινα πρεσβείαν ἢ χρείαν
of-Arsaces also himself being on some embassy or need
εἰσῄει πρὸς τὴν περίβλεπτον ταύτην Κωνσταντινούπολιν·
came-in to the conspicuous this Constantinople
ὃς ἀνδρὶ περιτυγχάνει κατὰ τύχην ὁμογενεῖ, Λέοντι
who with-man meets by chance of-the-same-race Leo
καλουμένῳ, καὶ γνοὺς αὐτὸν ἀπὸ τῆς ἔξωθεν
called and having-recognized him from the outward
καταστάσεως καὶ περὶ τὴν κατὰ στολὴν ἰδιότητος οὐχ ἕνα
condition and about the in dress peculiarity not one
τῶν τυχόντων καὶ ταπεινῶν ἀλλ᾽ εὐγενῆ καὶ περιφανῆ,
of-the chance and humble but noble and distinguished
καὶ εἰς ὁμιλίαν αὐτῷ καταστὰς καὶ ταύτην ἐθάδα καὶ
and into converse with-him having-entered and this accustomed and
σύντροφον εὑρηκώς, ἐπεὶ τὸ γένος ἀνέμαθεν, καὶ τὴν
familiar having-found since the race he-learned also the
ὁμοῦ οἴκησιν προκρίνει, τῆς οἰκείας τὴν ἀλλοτρίαν διὰ
together dwelling prefers to-the own the another's because-of
τὴν τοῦ ἀνδρὸς ἀρετήν· καὶ τὸ πρὸς αὐτὸν ἀσπασάμενος
the of-the man virtue and the with him having-embraced
κῆδος μίαν τῶν αὐτοῦ θυγατέρων ἠγάγετο, ἐξ
marriage-alliance one of-the his daughters married from
ὧν ὁ τοῦ ἱστορουμένου προῆλθε πατήρ, ὃς καλῶς
whom the of-the(-one) narrated came-forth father who well
ἀναχθεὶς καὶ δι᾽ ἐπαινουμένης ἀγωγῆς καὶ τροφῆς
having-been-brought-up and through praised upbringing and nurture
εἰς ἄνδρας τελέσας, καὶ εὐεξίᾳ σώματος καὶ ῥώμῃ
into men having-reached and in-good-condition of-body and in-strength
διαφέρων καὶ παντοδαπαῖς κοσμούμενος ἀρεταῖς, πολλοὺς
excelling and in-every-kind being-adorned virtues many
ἐκίνει τοὺς δι᾽ ἐπιγαμίας θέλοντας αὐτὸν οἰκειώσασθαι.
moved the(-ones) through marriage wishing him to-make-kin

γυνὴ δέ τις εὐγενὴς καὶ κοσμία κατὰ τὴν Ἀδριανούπολιν
woman but some noble and modest in — Adrianople
τὴν οἴκησιν ἔχουσα, ἀποιχομένου τοῦ ταύτης ἀνδρὸς
the dwelling having having-departed the her husband
σωφρόνως τὴν χηρείαν ἀνύουσα, (φήμη γάρ τις διέτρεχεν
temperately the widowhood accomplishing report for some ran
οὐ παντελῶς ἀμυδρὰ ἐκ τοῦ μεγάλου Κωνσταντίνου ἕλκειν
not altogether faint from the great Constantine to-draw
αὐτὴν τὴν συγγένειαν) τῶν ἄλλων προτιμοτέρα τῶν
her the kinship than-the others more-honored of-the(-ones)
τε καθ' οὓς παρῴκησεν ἐνομίσθη αὐτῷ, καὶ διὰ τοῦτο
both among whom he-dwelt was-thought by-him and because-of this
τὴν ταύτης θυγατέρα εὐγενείᾳ καὶ κάλλει διαφέρουσαν
the her daughter in-nobility and beauty excelling
σώματος καὶ αἰδοῖ κεκοσμημένην ἠγάγετο· ἐξ ὧν
of-body and with-modesty adorned married from whom
ἐβλάστησεν ἡ βασίλειος αὕτη ῥίζα Βασίλειος, πατρόθεν
sprang the imperial this root Basil from-the-father
μὲν ἕλκων τὴν ἐξ Ἀρσάκου συγγένειαν, ἣ προείρηται·
indeed drawing the from Arsaces kinship which has-been-said-before
ἡ δὲ μήτηρ τῇ τε τοῦ μεγάλου Κωνσταντίνου
the but mother with-the both of-the great Constantine
συγγενείᾳ ἐκαλλωπίζετο καὶ ἀπὸ θατέρου μέρους τὴν
kinship was-adorned and from the-other side the
Ἀλεξάνδρου ηὔχει λαμπρότητα. ἐκ τοιούτων γεννητόρων
of-Alexander boasted splendor from such parents
προελθὼν ὁ Βασίλειος εὐθὺς πολλὰ τῆς ὕστερον δόξης
having-come-forth — Basil straightway many of-the later glory
σύμβολα εἶχεν ὑποφαινόμενα· ταινία τε γὰρ κοκκοβαφὴς
tokens had showing-forth band both for scarlet-dyed

παρὰ τὴν πρώτην ἔκφυσιν τῶν τριχῶν ἑωρᾶτο περὶ τὴν
at the first growth of-the hairs was-seen about the
κεφαλήν, καὶ περὶ τὰ σπάργανα πορφύρεα βάμματα.
head and about the swaddling-clothes purple dyes
Ἦν δὲ μέχρι τότε τὸ γένος τῶν ἀπογόνων Ἀρσάκου κατ' 4
was but until then the race of-the descendants of-Arsaces by
ἰδίαν ὥσπερ φατρίαν συνεστηκός, εἰ καὶ ταῖς ἐπιγαμίαις
own as-it-were clan formed if even by-the intermarriages
πολλάκις τοῖς ἐγχωρίοις συνανεκιρνᾶτο, ἐν Ἀδριανουπόλει
often with-the natives it-was-mixed in Adrianople
κεκτημένον τὴν οἴκησιν. ἐπεὶ δὲ Κροῦμος ἐκεῖνος, ὁ τῶν
having the dwelling when but Krum that-one the of-the
Βουλγάρων ἄρχων, εἰς τὰς πρὸς Ῥωμαίους ἐξυβρίσας
Bulgarians ruler against the with Romans having-outraged
σπονδὰς πολέμιον χάρακα τῇ Ἀδριανουπόλει ἐβάλετο, καὶ
treaties hostile palisade — against-Adrianople set and
χρόνον προκαθίσας συχνὸν ὁμολογίᾳ ταύτην διὰ τὴν τῶν
time having-sat-before long by-agreement it because-of the of-the
ἀναγκαίων ἔνδειαν παρεστήσατο, καὶ τοὺς ἐν αὐτῇ πάντας
necessities lack brought-over and the(-ones) in it all
μετὰ καὶ Μανουὴλ τοῦ ἀρχιερέως τῆς τοιαύτης πόλεως εἰς
with also Manuel the high-priest of-the such city to
Βουλγαρίαν μετήγαγε, συνέβη μετὰ τῶν ἄλλων καὶ τοὺς
Bulgaria carried-off it-happened with the others also the
τοῦ Βασιλείου γεννήτορας, ἔτι τοῦτον ἐν τοῖς σπαργάνοις
— of-Basil parents still him in the swaddling-clothes
ἔχοντας, εἰς τὴν τῶν Βουλγάρων ἀπαχθῆναι γῆν· ἔνθα τὴν
having to the of-the Bulgarians to-be-led-away land where the
οἰκείαν τῶν Χριστιανῶν πίστιν ἀνόθευτον διασῴζοντες ὅ τε
own of-the Christians faith unadulterated preserving the both
θαυμάσιος ἐκεῖνος ἀρχιερεὺς καὶ ὁ σὺν αὐτῷ λαὸς πολλοὺς
admirable that high-priest and the with him people many

τῶν Βουλγάρων πρὸς τὴν ἀληθινὴν πίστιν μετήγαγον τοῦ
of-the Bulgarians to the true faith brought-over —
Χριστοῦ (οὔπω γὰρ ἦν τὸ ἔθνος μετηνεγμένον πρὸς τὴν
of-Christ not-yet for was the nation transferred to the
εὐσέβειαν) καὶ πολλαχοῦ τὰ τῆς Χριστιανικῆς διδασκαλίας
piety and in-many-places the of-the Christian teaching
κατεβάλοντο σπέρματα, τῆς ἐθνικῆς τοὺς Σκύθας πλάνης
laid-down seeds from-the heathen the Scythians error
μεθέλκοντες καὶ πρὸς τὸ τῆς θεογνωσίας μετάγοντες φῶς.
drawing-away and to the of-the knowledge-of-god leading light
ἐφ' οἷς πρὸς ὀργὴν κατ' αὐτῶν κινηθεὶς Μουτράγων ὁ
at which to anger against them having-been-moved Moutragon the
τοῦ Κρούμου διάδοχος αὐτόν τε τὸν ἱερώτατον Μανουὴλ
— of-Krum successor him both the most-holy Manuel
καὶ πολλοὺς τοὺς ἐπὶ τούτῳ ἐνδεικνυμένους, ὡς οὐκ
and many the(-ones) at this showing-themselves when not
ἴσχυσε πειράσας πεῖσαι ἀποστῆναι Χριστοῦ, μετὰ πολλὰς
he-was-able having-tried to-persuade to-stand-away from-Christ after many
αἰκίας τῷ διὰ μαρτυρίου θανάτῳ παρέπεμψεν. καὶ οὕτω
torments to-the through martyrdom death sent and so
συνέβη πολλοὺς τῶν τοῦ Βασιλείου συγγενῶν μαρτυρικῆς
it-happened many of-the — of-Basil kinsmen martyrly
εὐκλείας τυχεῖν, ὡς μηδὲ τῆς ἐντεῦθεν σεμνότητος
glory to-obtain so-that not-even of-the thence majesty
αὐτὸν ἀμοιρεῖν. ἄρτι δὲ ἐπισκεπτομένου θεοῦ τὸν λαὸν
him to-have-no-share just but visiting god the people
αὐτοῦ καὶ τὴν ἔξοδον αὐτοῖς πρυτανεύοντος (ὁ γὰρ τῶν
his and the exodus for-them presiding the for of-the
Βουλγάρων ἄρχων μὴ δυνάμενος ἐπὶ πολὺ πρὸς τὰς
Bulgarians ruler not being-able for long against the
Ῥωμαϊκὰς δυνάμεις ἀνταγωνίζεσθαι πάλιν εἰς ὑπόπτωσιν
Roman forces to-contend again toward submission

ἔνευεν), ἐν τῷ ἐπισυνάγεσθαι πρὸς τὸν ἄρχοντα τὸν εἰς
inclined in the to-be-gathered to the ruler the to
τὰ οἰκεῖα ἀπολύεσθαι μέλλοντα λαὸν τῶν Χριστιανῶν,
the own-homes to-be-released going people of-the Christians
ἰδὼν τὸν παῖδα Βασίλειον τῇ τε μορφῇ ἐλευθέριον
having-seen the boy Basil in-the both form free
καὶ χαρίεν ὑπογελῶντα καὶ περισκαίροντα πρὸς ἑαυτὸν
and gracefully smiling and skipping-about to himself
ἐφειλκύσατο, καὶ μῆλον θαυμαστὸν τῷ μεγέθει ἐπέδωκεν.
he-drew and apple wonderful in-the size gave
ὁ δὲ παῖς ἀκάκως καὶ θαρραλέως τοῖς τοῦ ἄρχοντος
the but boy guilelessly and boldly on-the of-the ruler
ἐπερειδόμενος γόνασιν ἐν τῷ ἁπλάστῳ ἤθει τὴν οἰκείαν
leaning knees in the unfeigned character the own
εὐγένειαν ἐπεδείκνυτο, ὡς ἐκπλαγῆναι μὲν τὸν ἄρχοντα,
nobility showed so-that to-be-astonished indeed the ruler
διαγριαίνεσθαι δὲ λεληθότως τὴν δορυφόρον τάξιν αὐτοῦ.
to-grow-savage but secretly the bodyguard rank his
Ἀλλ' ἵνα τὰ ἐν μέσῳ συντέμω, ἐξῆλθεν εὐμενείᾳ θεοῦ 5
but that the(-things) in middle I-may-cut-short went-out by-the-favor of-god
πρὸς τὰ οἰκεῖα ἅπας ὁ ἀπαχθεὶς ὡς αἰχμάλωτος
to the own-homes all the having-been-led-away as captive
λαὸς τῶν Χριστιανῶν, συνεξῆλθον δὲ καὶ οἱ τοῦ Βασιλείου
people of-the Christians went-out-with but also the — of-Basil
γονεῖς, τὸν φίλτατον αὐτοῖς παῖδα προσεπαγόμενοι. ἐγένετο
parents the dearest to-them boy bringing-along happened
δέ τι περὶ αὐτὸν εὐθὺς κατὰ τὴν πρώτην ἡλικίαν
but something about him straightway in the first age
θαυμάσιον, τὴν εἰς ὕστερον τύχην παραδηλοῦν, ὅπερ
wonderful the toward later fortune indicating which
οὐ θέμις οἶμαι σιγῇ παρελθεῖν. τῷ γὰρ καιρῷ τοῦ
not lawful I-think in-silence to-pass-over in-the for season of-the

θέρους τῶν τούτου γονέων ἐπὶ τὸν ἴδιον ἐξελθόντων
summer the his parents to the own having-gone-out
ἀγρὸν καὶ τοῖς θερισταῖς ἐπιστατούντων καὶ διεγειρόντων
field and the reapers overseeing and rousing
συντόνως ἐργάζεσθαι, ὡς περὶ πλήθουσαν ἀγορὰν ἡ
intensely to-work when about full market the
ἡμέρα προέκοπτε καὶ ὁ ἥλιος ἤδη σφοδρότερον ταῖς
day advanced and the sun already more-fiercely with-the
μεσημβριναῖς ἀκτῖσιν ἐπέφλεγεν, οἱονεί τινα σκηνὴν ἐκ
midday rays was-blazing as-it-were some tent from
τοῦ συνδέσμου τῶν ἀσταχύων σκευάσαντες ἐν ταύτῃ τὸν
the binding of-the ears-of-grain having-made in this the
παῖδα κοιμηθησόμενον ἔθεντο, ὅπως τῆς ἀπὸ τοῦ ἡλίου
boy going-to-sleep they-put that the from the sun
θέρμης ἀβλαβῶς διέλθῃ τὸν καύσωνα. ἐν δὲ τῷ
heat harmlessly he-may-pass-through the burning-heat in but the
ἐκείνους ἐνασχολεῖσθαι τοῖς θερισταῖς ἀετὸς ἐπικαταπτὰς
them to-be-busy with-the reapers eagle having-flown-down
καὶ ἄνωθεν ἐπικαθίσας ἡπλωμέναις ταῖς πτέρυξι τὸ
and above having-perched with-spread the wings the
παιδίον ἐσκίαζεν. ἀρθείσης δὲ παρὰ τῶν ἰδόντων
child shaded having-been-raised but by the(-ones) having-seen
φωνῆς ὅτι ὄλεθρον ἴσως ἐπάξει ὁ ἀετὸς τῷ παιδί, ἡ
cry that destruction perhaps will-bring the eagle to-the boy the
μήτηρ εὐθὺς οἷα μήτηρ φιλόστοργος καὶ φιλότεκνος
mother straightway as mother affectionate and child-loving
πρὸς τὸν παῖδα ἐξέδραμεν. ἰδοῦσα δὲ τὸν ἀετὸν σκιὰν
to the boy ran-out having-seen but the eagle shade
ταῖς πτέρυξι τῷ παιδίῳ περιποιούμενον, καὶ μηδὲ
with-the wings for-the child procuring and not-even
πρὸς τὴν ταύτης ἐκπλαγέντα ἐπέλευσιν ἀλλ' ὥσπερ
at the her having-been-frightened approach but as-it-were

χαριέντως πρὸς αὐτὴν ἀτενίζοντα, οὐκ ἠδυνήθη κατὰ
graciously at her gazing not she-was-able on
τὸ πρόχειρον εἰς κρείττονα πεσεῖν λογισμόν, ἀλλὰ λίθον
the impulse to better to-fall reasoning but stone
ἔβαλε κατ᾽ αὐτοῦ· καὶ οὕτως ἀνέπτη ὁ ἀετὸς καὶ ὡς
threw against it and so flew-up the eagle and as
ἔδοξεν ἀπεχώρησεν. ἐκείνης δὲ αὖθις πρὸς τὸν ἄνδρα καὶ
it-seemed went-away she but again to the husband and
τοὺς ἐργάτας ὑποστρεψάσης, ὁ ἀετὸς κατὰ τὸ πρότερον
the workers having-returned the eagle in the former
σχῆμα παρῆν τὸ παιδίον ἐπισκιάζων, καὶ πάλιν ὁμοίως
posture was-there the child shading and again alike
ἡ φωνὴ παρὰ τῶν θεατῶν, καὶ ἡ μήτηρ πρὸς τὸ
the cry from the onlookers and the mother to the
παιδίον, καὶ τῇ βολῇ τοῦ λίθου ὁ ἀετὸς ἀποσοβούμενος,
child and by-the throw of-the stone the eagle scared-off
καὶ ἡ τῆς μητρὸς πρὸς τοὺς ἐργαζομένους ἐπιστροφή.
and the of-the mother toward the(-ones) working return
ἐναργέστερον δὲ ἄρα τῆς προνοίας δηλῶσαι θελησάσης
more-clearly but then the providence to-show having-wished
ὅτι οὐ κατά τινα τύχης αὐτοματισμὸν ἀλλὰ θείᾳ
that not by some of-chance accident but by-divine
προγνώσει τὸ τελούμενον δείκνυται, ἐκ τρίτου συνέβη
foreknowledge the(-thing) being-accomplished is-shown for third it-happened
τὰ ὅμοια, ὁ ἀετὸς ἐπὶ τὸ παιδίον, οἱ θεωροῦντες
the like-things the eagle on the child the(-ones) watching
βοῶντες, καὶ ἡ μήτηρ ἐπὶ τὸν ἀετόν, καὶ ὁ ἀετὸς
shouting and the mother at the eagle and the eagle
πρὸς βίαν καὶ μόλις ἀπαλλαττόμενος. οὕτω τῶν μεγάλων
by force and scarcely getting-away so of-the great
πραγμάτων ἀεὶ πόρρωθεν ὁ θεὸς προκαταβάλλεταί τινα
affairs always from-afar — god lays-down-beforehand some

σύμβολα καὶ τεκμήρια τῶν εἰς ὕστερον. τοῦτο
tokens and evidences of-the(-things) toward later this
δὲ καὶ εἰς τὴν ἐχομένην ἡλικίαν οὐκ ὀλιγάκις γέγονεν
but also into the following age not seldom has-happened
ἐπ᾽ αὐτῷ, ἀλλὰ πολλάκις εὑρέθη ὑπὸ ἀετοῦ ἐν τῷ
in his-case but often he-was-found by eagle in the
ὑπνοῦν σκιαζόμενος. ἀλλ᾽ ἐν οὐδενὶ σχεδὸν λόγῳ τότε
sleeping being-shaded but in no almost account then
ταῦτα ἐτίθετο· πρὸ τοῦ γὰρ ἐμφανεῖς καταστῆναι τὰς ἐν
these-things were-placed before the for evident to-become the in
αὐτῷ ἀρετάς, κἂν μεγάλα τὰ προφαινόμενα ἠμελεῖτο
him virtues even great the(-things) appearing-beforehand were-neglected
καὶ παρελάνθανεν, οὐδενὸς δυναμένου ἐν οἰκίᾳ λιτῇ καὶ
and escaped-notice no-one being-able in house plain and
δημοτικῇ ὅπως ἔλθῃ ποτὲ βαλέσθαι εἰς νοῦν. πλὴν
common how he-should-come ever to-put into mind but
ἐπεὶ καὶ τὸ τούτοις ἐπὶ πλέον ἐνδιατρίβειν οὐ πόρρω
since also the in-these for more to-linger not far
τυχὸν δόξει τρόπου θωπεύοντος, καὶ νομισθῶμεν ἴσως
perhaps will-seem from-manner flattering and we-may-be-thought perhaps
ἀπορίᾳ τῶν περὶ αὐτὸν καλῶν ἐν τούτοις τὴν ἱστορίαν
from-lack of-the about him good-things in these the history
ἀπασχολεῖν, τὰ τοῦ ὁμοίου εἴδους καὶ τῆς παιδικῆς
to-occupy the(-things) of-the like kind and of-the childish
ἡλικίας πάντα παρήσομεν, ἐπὶ δὲ τὰ ἔμπροσθεν
age all we-shall-pass-over to but the(-things) forward
τὸν λόγον σπουδῇ προαγάγωμεν, τὴν τῶν ἐπαίνων
the account with-zeal let-us-lead-forward the of-the praises
ἀπληστίαν ὥσπερ ἄλλο τι τῶν οὐκ ἐπαινετῶν
insatiability as other something of-the(-things) not praiseworthy
ἀπωθούμενοι.
thrusting-away

Τρεφόμενος τοίνυν ὁ παῖς παρὰ τῷ πατρί, καὶ αὐτὸν 6
being-reared therefore the boy with the father and him
ἔχων τῶν πρακτέων ὑφηγητὴν καὶ τῶν ῥητέων
having of-the(-things) to-be-done guide and of-the(-things) to-be-said
ἐξηγητὴν καὶ διδάσκαλον καὶ παιδοτρίβην πρὸς ἅπαν
interpreter and teacher and trainer for all
σπουδαῖον καὶ ἐπαινούμενον, οὔτε μιξανθρώπου Χείρωνος
serious and praised neither of-half-man Chiron
ἐδεήθη ὡς Ἀχιλλεὺς οὔτε Λυκούργου νομοθέτου καὶ
he-needed as Achilles nor of-Lycurgus lawgiver and
Σόλωνος οὔτε ὑπερορίου καὶ ξενικῆς ἀγωγῆς, ἀλλ᾽ ὑπὸ
of-Solon nor of-foreign and alien upbringing but under
τῷ φύσαντι μόνῳ τὰ τῶν καλῶν ἐξασκούμενος
the(-one) having-begotten alone the of-the fine-things being-trained
κάλλιστα, πρός τε τὸ θεῖον ὁσιότητα καὶ εὐσέβειαν καὶ
finest toward both the divine holiness and piety and
πρὸς τοὺς τεκόντας αἰδῶ καὶ εὐπείθειαν, πρὸς γεραιτέρους
toward the parents reverence and obedience toward elders
ὕπειξιν καὶ πρὸς ἥλικας καὶ φυλέτας ἄδολον εὔνοιαν,
yielding and toward contemporaries and fellow-tribesmen guileless goodwill
πρὸς δυνάστας ὑποταγὴν καὶ πρὸς πένητας ἔλεον, ἐν
toward lords submission and toward poor pity in
πάσαις ταῖς ἀρεταῖς ἐπιδήλως ἐξέλαμψεν, σώφρων ἐκ
all the virtues conspicuously he-shone temperate from
νέου καὶ ἀνδρεῖος ἀναφαινόμενος, τήν τε ἰσότητα μετὰ
youth and brave appearing the both equality with
φρονήσεως ἀγαπῶν καὶ διαφερόντως τιμῶν, καὶ ἐν
prudence loving and especially honoring and in
μηδενὶ τῶν ταπεινοτέρων κατεπαιρόμενος· ἐξ ὧν εὔνοια
nothing over-the humbler exalting-himself from which goodwill

παρὰ πάντων αὐτῷ καὶ τὸ πᾶσιν εἶναι προσφιλῆ καὶ
from all to-him and the to-all to-be dear and
ἐράσμιον.
lovely

7 Ἤδη δὲ αὐτοῦ τὴν παιδικὴν παραλλάξαντος ἡλικίαν καὶ
already but he the childish having-passed age and
πρὸς τὴν τῶν μειρακίων ἐλάσαντος καὶ τοῖς ἀνδρικωτέροις
to the of-the lads having-advanced and to-the manlier
καιρὸν ἔχοντος προσβαίνειν ἐπιτηδεύμασιν, ἐξέλιπε τὸν
season having to-step-toward pursuits left the
βίον ὁ φύσας πατὴρ καὶ πρὸς τὴν ἐκεῖθεν ἀπῆρε
life the having-begotten father and to the there departed
κατάστασιν, πένθος δὲ καὶ θρῆνος κατὰ τὴν οἰκίαν,
state grief but and lament through the house
ὡς εἰκός, ἐπεκώμαζε· χηρεία περὶ τὴν μητέρα καὶ
as likely reveled widowhood about the mother and
ὀρφανία περὶ τοῦτον τὸν κράτιστον καὶ αἱ ἐντεῦθεν
orphanhood about this-one the strongest and the thence
ἀνίαι καὶ θλίψεις ἐφύοντο, ἐπέρρει δὲ καὶ φροντίδων
sorrows and afflictions grew flowed-in but also of-cares
ἑσμὸς τῆς κατὰ τὸν βίον διοικήσεως ἕνεκα· ἔρρεπε γὰρ
swarm of-the in the life management for-the-sake inclined for
πρὸς τοῦτον εὐθὺς πᾶσα ἡ περὶ τὸν οἶκον ἐπιμέλεια
to this-one straightway all the about the house care
καὶ ἡ πρόνοια τῆς μητρὸς καὶ τῶν ἀδελφῶν. ἐπεὶ
and the provision of-the mother and of-the brothers since
δὲ ἡ ἀπὸ γεωργίας ἐπικουρία μικρά τις καὶ ἀγεννὴς
but the from farming help small some and ignoble
ἐδόκει αὐτῷ, ἐβουλεύετο πρὸς τὴν βασιλεύουσαν εἰσελθεῖν
seemed to-him he-planned to the reigning-city to-go-in
καὶ τὰ τῆς οἰκείας ἀρετῆς ἐπιδείξασθαι κἀντεῦθεν
and the(-things) of-the own virtue to-display and-from-there

ἑαυτῷ τε καὶ τοῖς αὐτοῦ προσπορίσαι τὰ
for-himself both and for-the(-ones) his to-procure the(-things)
δέοντα καὶ μεγαλωφελῆ τὴν προστασίαν ἐπιδείξασθαι καὶ
needful and of-great-benefit the protection to-display and
προμήθειαν· ἤδει γὰρ ἐν ταῖς μεγάλαις καὶ μάλιστα ταῖς
forethought he-knew for in the great and most the
βασιλευομέναις τῶν πόλεων τὰς δεξιὰς φύσεις εὐδοκιμεῖν
imperial of-the cities the clever natures to-be-esteemed
καὶ τοὺς τῶν ἄλλων κατά τι προέχοντας ἐπὶ
and the(-ones) than-the others in something excelling to
λαμπροτέρας τύχης γνωρίζεσθαι, ἐν δὲ ταῖς ἀδοξοτέραις
more-splendid fortune to-be-recognized in but the more-obscure
τῶν πόλεων καὶ ταπειναῖς, ὥσπερ ἐν ταῖς κωμητικαῖς
of-the cities and humble as in the village
ἀναστροφαῖς, ἀμαυροῦσθαι καὶ φθίνειν τὰς ἀρετάς,
ways to-be-dimmed and to-waste-away the virtues
καὶ αὐτὰς ὑφ' ἑαυτῶν ἐν τῷ μὴ ἐπιδείκνυσθαι μηδὲ
and themselves by themselves in the not to-be-displayed nor
θαυμάζεσθαι πρὸς τὸ ἐξίτηλον χωρεῖν καὶ μαραίνεσθαι.
to-be-admired to the faded to-go and to-wither
διὰ ταῦτα μὲν ἡ πρὸς τὴν βασιλεύουσαν εἴσοδος
because-of these-things indeed the to the reigning-city entry
ἐδόκει αὐτῷ λυσιτελὴς καὶ συμφέρουσα, ἀνθεῖλκε δὲ
seemed to-him profitable and advantageous drew-back but
καὶ κατεῖχεν ὁ τῆς μητρὸς πόθος καὶ τὸ θέλειν
and held the of-the mother longing and the to-wish
ἐπικουφίζειν ταύτης τὰ δυσχερῆ, αὐτῆς ἐκείνης μάλιστα
to-lighten her the hardships herself she most
τὰς γηροτρόφους ἐλπίδας προβαλλομένης καὶ τὴν
the old-age-tending hopes putting-forward and the

ἐγγύθεν ἀπαιτούσης ἐπικουρίαν καὶ ὑπουργίαν ἐν τοῖς
near demanding help and service in the(-things)
καθήκουσιν.
befitting

8–13 · INTO THE CITY AND THE EMPEROR'S SERVICE

His mother's dreams of a golden plant and of Elijah urge him on. Sleeping at the gate of St. Diomedes, Basil is named to the abbot by the martyr as a future emperor, and is placed with Theophilitzes, kinsman of Michael and Bardas. At Patras a monk hails him as emperor, and the widow Danelis gives him gold, thirty slaves, and clothing, asking only spiritual brotherhood with her son. At a banquet he throws the Bulgarians' champion wrestler, and when Michael's unruly horse bolts he mounts it at a run; Michael makes him a groom, then protostrator.

8 Ἐπεὶ δὲ κυριωτέραν ἔδει τὴν θείαν γενέσθαι βουλὴν
since but more-sovereign it-was-needful the divine to-become will
καὶ τοῦτον πρὸς ὅπερ ἀφώριστο κατὰ μικρὸν ὁδῷ
and this-one to what he-had-been-destined by little on-road
βαδίζοντα ἀνελθεῖν, ὀνειράτων ὄψεις πείθουσι τὴν μητέρα
walking to-go-up of-dreams visions persuade the mother
ὑπενδοῦναι αὐτῷ καὶ ὑπεῖξαι τῆς πρὸς τὴν πόλιν
to-give-way to-him and to-yield from-the toward the city
ὁρμῆς, μᾶλλον δὲ αὐτὴν ἐκείνην παρορμῆσαι αὐτὸν καὶ
impulse rather but herself her to-urge him and
προτρέψασθαι τὴν βασιλεύουσαν πόλιν καταλαβεῖν καὶ
to-exhort the reigning city to-reach and
ἐπιδείξασθαι τὸν τῆς ψυχῆς λειμῶνα καὶ τὰ τοῦ γενναίου
to-display the of-the soul meadow and the of-the noble
φρονήματος προτερήματα. ἔδοξε γάρ ποτε ὄναρ ἡ μήτηρ
spirit excellences seemed for once in-dream the mother

ὁρᾶν μέγιστον ἐξ αὐτῆς ἀναβλαστῆσαι φυτόν, ὡς ἡ Κύρου
to-see very-great from her to-spring-up plant as the of-Cyrus
μήτηρ εἶδε τὴν ἄμπελον, καὶ τοῦτο ἐπὶ τῆς οἰκίας αὐτῆς
mother saw the vine and this on the house her
ἑστάναι ἄνθεσί τε κομῶν καὶ καρπῷ βρίθον, χρυσοῦν τε
to-stand with-flowers both luxuriant and with-fruit laden golden both
εἶναι τὸ ἀπὸ γῆς τούτου μέγα στέλεχος, καὶ τὸ κλάδος
to-be the from earth its great stem and the branch
καὶ τὰ φύλλα χρυσοειδῆ. τοῦτο δὲ πρός τινα τῶν συνήθων
and the leaves gold-like this but to some of-the acquaintances
καὶ περὶ τὰ τοιαῦτα κατευστοχεῖν δοκούντων διηγησαμένη
and about the such-things to-hit-the-mark seeming having-narrated
ἐπὶ λαμπρᾶς καὶ μεγάλης τύχης ἔσεσθαι δηλοῦν τὸν υἱὸν
to splendid and great fortune to-be to-show the son
αὐτῆς ἤκουσε. καὶ αὖθις δὲ μετά τινα χρόνον ὀλίγον
her she-heard and again too after some time little
ὁρᾷ κατὰ τοὺς ὕπνους ἄνδρα τινὰ γηραιόν, οὗ πῦρ
she-sees in the sleep man some old from-whom fire
ἐξήει ἀπὸ τοῦ στόματος, διαρρήδην λέγοντα πρὸς αὐτὴν
came-out from the mouth expressly saying to her
ὅτι ὁ ἀγαπώμενος ὑπὸ σοῦ ὁ υἱός σου Βασίλειος
that the(-one) loved by you the son your Basil
τῆς τῶν Ῥωμαίων βασιλείας παρὰ θεοῦ τὰ σκῆπτρα
of-the of-the Romans empire from god the scepters
ἐγχειρισθήσεται, καὶ δεῖ σε προτρέψασθαι τοῦτον πρὸς
will-be-entrusted-with and it-is-needful you to-exhort him to
τὴν Κωνσταντινούπολιν εἰσελθεῖν. ἡ δὲ πρὸς τὴν χαρμόσυνον
— Constantinople to-go-in she but at the joyful
ταύτην ἀγγελίαν διαχυθεῖσα καὶ πλήρης γενομένη χαρᾶς
this message melted and full having-become of-joy
προσεκύνησέ τε τὸν γηραιὸν ἐκεῖνον καὶ "τίς εἶ" εἶπεν
did-obeisance both to-the old-man that and who are-you said

αὐτῷ, "ὦ κύριέ μου, ὁ μὴ ἀπαξιώσας ἐποφθῆναι τῇ
to-him O lord my the(-one) not having-disdained to-be-seen by-the
δούλῃ σου, ἀλλ' οὕτως εὐφρόσυνα εὐαγγέλια προσκομίσας
handmaid your but so joyful good-tidings having-brought
μοι;" ὁ δὲ "Ἠλίας" φησίν "ὁ Θεσβίτης εἰμί," καὶ ἀπέπτη
to-me he but Elijah says the Tishbite I-am and flew-away
τῶν ὀφθαλμῶν. διυπνισθεῖσα οὖν ἐκείνη, καὶ ταῖς δεξιαῖς
from-the eyes having-woken then she and by-the auspicious
ταύταις ὄψεσι, μᾶλλον δὲ θείαις ἀποκαλύψεσιν οἷον
these visions rather but divine revelations as-it-were
ἀναπτερωθεῖσα καὶ ζωπυρήσασα, προθύμως αὐτὴ παρώρμα
given-wings and having-kindled eagerly she-herself urged
καὶ ἐξέπεμπε τὸν υἱὸν πρὸς τὴν βασιλεύουσαν, καὶ οἷα
and sent-forth the son to the reigning-city and as
μήτηρ ἐνουθέτει καὶ παρεκάλει τόν τε θεῖον φόβον διηνεκῶς
mother admonished and exhorted the both divine fear continually
ἔχειν ἐν τῇ ψυχῇ, καὶ νομίζειν ἀεὶ τὸν τῆς προνοίας
to-have in the soul and to-think always the of-the providence
ὀφθαλμὸν πᾶσαν πρᾶξιν αὐτοῦ καὶ πᾶν νόημα ἐφορᾶν καὶ
eye every deed his and every thought to-oversee and
μηδὲν ἀνάξιον τῆς τοιαύτης ἐφορείας σπουδάζειν, ἀλλὰ τῷ
nothing unworthy of-the such oversight to-pursue but with-the
προσήκοντι καταστήματι τὰς οἰκείας ἀρετὰς ἐπιδείξασθαι
befitting bearing the own virtues to-display
καὶ ἐν μηδενὶ τὴν προγονικὴν καταισχῦναι εὐγένειαν.
and in nothing the ancestral to-disgrace nobility

9 Ἆρας οὖν ἐκ Μακεδονίας τῆς Θρᾴκης πρὸς τὴν
having-set-out then from Macedonia — of-Thrace to the
ἄρχουσαν ταύτην τῶν πόλεων πασῶν ἐπορεύετο, τῶν
ruling this of-the cities all he-went of-the
δυνατῶν τινὶ καὶ περιφανῶν προσμῖξαι βουλόμενος
powerful with-someone and distinguished to-attach-himself wishing

καὶ εἰς θεραπείαν καὶ δουλείαν αὐτοῦ ἑαυτὸν ἀποτάξαι καὶ
and into service and slavery his himself to-assign and
καταστῆσαι. καὶ τὸ μεταξὺ διανύσας διάστημα, καὶ
to-establish and the intervening having-accomplished distance and
κατὰ τὰς χρυσᾶς πύλας τῆς βασιλίδος γενόμενος, καὶ δι᾽
at the golden gates of-the queen-city having-been and through
αὐτῶν ἤδη καταφερομένης τῆς ἡμέρας εἰσελθών, πλησίον
them already declining the day having-entered near
τυγχάνοντι τῷ τοῦ ἁγίου μάρτυρος Διομήδους προσπελάζει
being to-the of-the holy martyr Diomedes he-approaches
μοναστηρίῳ, καὶ ἀπὸ τῆς ὁδοιπορίας κατάκοπος ὢν αὐτοῦ
monastery and from the journey worn-out being there
που πρὸ τοῦ πυλῶνος ἐν τοῖς ἐκεῖσε βάθροις ἀτημελῶς
somewhere before the gateway on the there steps carelessly
οὕτως ἐπιρρίψας ἑαυτὸν ἀνεπαύετο. καὶ δὴ περὶ πρώτην
so having-thrown himself he-rested and indeed about first
τυχὸν φυλακὴν νυκτὸς ὄναρ τῷ τῆς μονῆς καθηγουμένῳ
perhaps watch of-night in-dream to-the of-the monastery abbot
ὁ μάρτυς Διομήδης ἐφίσταται, κελεύων ἐπὶ τὸν πυλῶνα
the martyr Diomedes stands-over ordering to the gateway
τῆς μονῆς ἐξελθεῖν καὶ ἐξ ὀνόματος καλέσαι Βασίλειον,
of-the monastery to-go-out and by name to-call Basil
καὶ ὃς ἂν αὐτῷ ὑπακούσῃ καλοῦντι, τοῦτον εἰσαγαγεῖν
and whoever — him obeys calling this-one to-bring-in
εἰς τὸ μοναστήριον καὶ ἐπιμελείας ἀξιῶσαι, τροφῆς τε
into the monastery and of-care to-deem-worthy of-food both
καὶ σκέπης καὶ ἐνδυμάτων καὶ πάσης μεταδόντα τῆς
and shelter and clothes and all having-given-a-share of-the
ἐνδεχομένης χρείας καὶ θεραπείας· κεχρισμένον γὰρ εἰς
possible need and service anointed for for
βασιλέα τυγχάνειν παρὰ θεοῦ, καὶ αὐτὸν μέλλειν εἰς
emperor to-be by god and him to-be-going for

ἀνοικοδομὴν καὶ αὔξησιν τῆς παρούσης γενέσθαι μονῆς.
rebuilding and increase of-the present to-be monastery
ὡς δὲ φαντασίαν ἄλλως καὶ κενὸν διανοίας ἀνάπλασμα
when but fantasy in-vain and empty of-mind fabrication
δόξας τὸ ὁραθὲν ὁ ἡγούμενος ἐν οὐδενὶ λόγῳ
having-thought the(-thing) seen the abbot in no account
ἔθετο, ἀλλὰ πάλιν ἑαυτὸν τῷ ὕπνῳ ἐκδέδωκεν, ἐκ
put but again himself to-the sleep gave-up for
δευτέρου βλέπει καὶ ἀκούει τὰ ὅμοια. ὡς δὲ καὶ ἔτι
second he-sees and hears the like-things when but also still
νωθὴς καὶ ὑπνώδης, ὡς ἔοικεν, ὢν οὐκ ἀνέφερεν, ἐκ
sluggish and sleepy as it-seems being not he-recovered for
τρίτου βλέπει τὸν μάρτυρα, οὐκέτι πράως καὶ ἱλαρῶς
third he-sees the martyr no-longer mildly and cheerfully
παρακελευόμενον ἀλλὰ σφοδρῶς ἀπειλοῦντα καὶ μάστιγας
exhorting but vehemently threatening and whips
τῷ δοκεῖν ἐπιφέρειν πειρώμενον, εἰ μὴ θᾶττον ὑπηρετήσει
to-the seeming to-bring trying if not quicker he-will-serve
πρὸς τὰ λεγόμενα. τότε δ' οὖν μόλις οἱονεὶ
to the(-things) said then but then scarcely as-it-were
ἀνανήψας καὶ τὸν γείτονα θανάτου ὕπνον τῶν ὀφθαλμῶν
having-sobered and the neighbor of-death sleep from-the eyes
ἀποτιναξάμενος τῷ πυλῶνι ἐφίσταται, καὶ κατὰ τὸ
having-shaken-off to-the gateway stands and according-to the
τοῦ μάρτυρος πρόσταγμα ἐξ ὀνόματος ἐκάλει Βασίλειε. ὁ
of-the martyr command by name called Basil he
δὲ εὐθὺς ἀπεκρίνατο "ἰδοὺ ἐγώ, κύριε· τί προστάσσεις
but straightway answered behold I lord what do-you-order
τῷ δούλῳ σου;" εἴσω δὲ αὐτὸν τῆς μονῆς ποιησάμενος,
the servant your within but him the monastery having-made
καὶ ἰδὼν ῥυπῶντά τε καὶ αὐχμῶντα καὶ πολὺν ἐπὶ τοῦ
and having-seen being-filthy both and squalid and much on the

προσώπου τὸν ἥλιον φέροντα, τῆς δεούσης ἐπιμελείας καὶ
face the sun bearing of-the needful care and
θεραπείας ἠξίωσεν καὶ πάσης φιλανθρωπίας μετέδωκεν.
service deemed-worthy and all humanity gave-a-share
εἶτα τὸ μυστήριον παρ᾽ ἑαυτῷ φυλάττειν καὶ πρὸς
then the mystery with himself to-keep and to
μηδένα ἐκλαλῆσαι διὰ τὸ κινδυνώδες εἰσηγησάμενος,
no-one to-blurt-out because-of the danger having-advised
τὴν τοῦ μάρτυρος αὐτῷ ἐφανέρωσε πρόρρησιν καὶ πρὸς
the of-the martyr to-him revealed prediction and for
τὸ μεμνῆσθαι μετὰ τὴν ἔκβασιν ἠσφαλίσατο.
the to-remember after the outcome made-sure
τοῦ δέ, ὡς ὑπὲρ αὐτὸν ὄντος τοῦ πράγματος, μηδὲ
he but as above him being the thing not-even
παραδέχεσθαι δόξαντος, ἀλλὰ μᾶλλον δι᾽ αὐτοῦ ἀξιοῦντος
to-accept seeming but rather through him asking
εἰσοικισθῆναι καὶ πρὸς δουλείαν δοθῆναι τῶν ἐμφανεστέρων
to-be-housed and to slavery to-be-given of-the more-conspicuous
τινί, προθύμως ἑαυτὸν εἰς τοῦτο ἐπέδωκεν ὁ ἡγούμενος.
to-someone eagerly himself to this gave the abbot
καὶ ἐπεὶ συνήθως εἶχε πρὸς τὴν τοιαύτην μονὴν καὶ πολλάκις
and since familiarly was to the such monastery and often
ἐτύγχανεν ἐκεῖσε φιλίως φοιτῶν ὁ τοῦ βασιλέως Μιχαὴλ
happened there in-friendship coming the of-the emperor Michael
καὶ Βάρδα τοῦ Καίσαρος συγγενής, ὃν ὑποκοριζόμενοι
and of-Bardas the Caesar kinsman whom diminutively
Θεοφιλίτζην ἐκάλουν, ἐπώνυμον φέροντα τὸν Παιδευόμενον,
Theophilitzes they-called surname bearing the Educated
τούτῳ συνέστησε τὸν Βασίλειον ὁ ἡγούμενος· ἐτύγχανε
to-this-one commended — Basil the abbot happened
γάρ πως τὸ Θεοφιλίδιον τοῦτο γαῦρον ὂν τῷ φρονήματι
for somehow — little-Theophilus this proud being in-the spirit

καὶ μεγαλοφροσύνης οὐκ ἀφεστώς, ἀλλὰ εἰς σπουδὴν ἔχον
and from-magnificence not standing-off but in zeal having
γενναίους ἄνδρας καὶ εὐειδεῖς καὶ εὐήλικας καὶ ἐπ᾽ ἀνδρίᾳ
noble men and good-looking and of-good-age and in courage
μάλιστα καὶ ῥώμῃ σώματος διαφέροντας κεκτῆσθαι περὶ
especially and strength of-body excelling to-have-acquired about
αὐτὸν καὶ ἐπὶ τούτοις μέγα φρονεῖν καὶ σεμνύνεσθαι· οὓς
him and on these great to-think and to-pride-himself whom
εὐθὺς ἦν ὁρᾶν σηρικαῖς τε κοσμουμένους ἐσθῆσι καὶ τῇ
straightway it-was to-see with-silk both adorned garments and in-the
ἄλλῃ καταστολῇ διαπρέποντας. τούτοις καταλεγέντα τὸν
other attire distinguished among-these enlisted the
νέηλυν νεανίαν Βασίλειον, καὶ κατὰ πολὺ προέχειν δόξαντα
newcomer youth Basil and by much to-excel seeming
τῶν λοιπῶν κατά τε σωματικὴν ἀλκὴν καὶ ψυχικὴν
of-the rest in both bodily strength and of-soul
ἀνδρίαν, πρωτοστράτορα αὐτοῦ πεποίηκεν ὁ Θεόφιλος,
courage protostrator his made — Theophilus
καὶ ἡμέραν ἐξ ἡμέρας ἐπὶ πλέον ἠγαπᾶτο παρ᾽ αὐτοῦ
and day after day to more he-was-loved by him
καὶ ἐπὶ τοῖς οἰκείοις προτερήμασιν ἐθαυμάζετο· ἐφαίνετο
and for the own excellences was-admired he-appeared
γὰρ καὶ κατὰ χεῖρα γενναῖος καὶ κατὰ ψυχὴν συνετὸς
for both in hand noble and in soul intelligent
καὶ πρὸς τὸ κελευόμενον πᾶν ὀξύς τε καὶ ἐπιτήδειος.
and toward the(-thing) ordered all quick both and fit
10 Ἡ δὲ μήτηρ αὐτοῦ διηνεκῶς ποτνιωμένη περὶ αὐτοῦ, καὶ
the but mother his continually praying about him and
διὰ τὸ μήπω μαθεῖν ὅπως αὐτῷ τὰ τῆς ἀποδημίας
because-of the not-yet to-have-learned how for-him the(-things) of-the journey
εὐώδωται δυσθυμοῦσά τε καὶ ἀσχάλλουσα, βλέπει πάλιν
have-prospered being-dispirited both and distressed sees again

κατὰ τοὺς ὕπνους μέγα φυτὸν κυπαρίσσῳ προσεοικός, κατὰ
in the sleep great plant to-cypress like in
τὴν αὐλὴν αὐτῆς ἑστηκός, φύλλοις τε χρυσοῖς πυκαζόμενον
the courtyard her standing with-leaves both golden thick
καὶ χρυσοῦς τοὺς κλάδους καὶ τὸ στέλεχος ἔχον, οὗπερ
and golden the branches and the stem having over-which
ὕπερθεν ὑπὲρ κορυφῆς ὁ ταύτης υἱὸς Βασίλειος ἐκαθέζετο.
above at top the her son Basil sat
διυπνισθεῖσα δὲ καὶ μεθ᾽ ἡμέραν τινὶ τῶν εὐλαβῶν γυναικῶν,
having-woken but also by day to-some of-the devout women
ἣ νυκτὸς καὶ ἡμέρας κατὰ τὴν Ἄνναν ἐκείνην οὐκ ἀφίστατο
who night and day after — Anna that-one not stood-away
ἀπὸ τοῦ θείου ναοῦ ἀλλὰ ταῖς εὐχαῖς καὶ νηστείαις ἐσχόλαζε,
from the divine temple but to-the prayers and fasts was-given
τὰ τῆς ὄψεως διηγήσατο. ἡ δὲ εὐθυμεῖν τε παρῄνεσεν
the(-things) of-the vision narrated she but to-be-cheerful both advised
ἐπὶ τῷ υἱῷ, καὶ τὸ ὁραθὲν ἐπικρίνασα βεβαίως δηλοῦν
about the son and the(-thing) seen having-judged firmly to-show
ἀπεφήνατο βασιλέα Ῥωμαίων γενέσθαι σου τὸν υἱόν. τοῖς
declared emperor of-Romans to-become your the son to-the
προτέροις οὖν καὶ τοῦτο προσλαβοῦσα λοιπὸν ἡ μήτηρ
former then also this having-added henceforth the mother
οὐκέτι περὶ αὐτοῦ ἐδυσφόρει οὐδὲ ἤσχαλλεν, ἀλλὰ τρεφομένη
no-longer about him was-distressed nor grieved but nourished
ταῖς ἐλπίσι καὶ τὴν ἄνωθεν ἀντίληψιν ἐκδεχομένη ἀνέθαλλεν.
by-the hopes and the from-above help awaiting flourished
Συνέβη δὲ κατ᾽ ἐκεῖνον τὸν χρόνον τὸν κύριον τοῦ Βασιλείου 11
it-happened but at that the time the master — of-Basil
Θεόφιλον διά τινας τοῦ δημοσίου δουλείας παρὰ τοῦ
Theophilus because-of some of-the public services by the
βασιλεύοντος Μιχαὴλ καὶ Βάρδα τοῦ Καίσαρος ἀποσταλῆναι
reigning Michael and Bardas the Caesar to-be-sent

εἰς Πελοπόννησον. συνῆν δὲ αὐτῷ καὶ ὁ Βασίλειος, εἰς
to Peloponnese was-with but him also — Basil in
τὴν ἀφορισθεῖσαν αὐτῷ δουλείαν καθυπουργῶν. γενόμενος
the assigned to-him service assisting having-been
δὲ κατὰ τὰς Πάτρας τῆς Ἀχαΐας ὁ εἰρημένος Θεόφιλος
but at — Patras — of-Achaea the said Theophilus
εἰσῄει εἰς τὸν τοῦ πρωτοκλήτου ἀποστόλου Ἀνδρέου ναὸν
went-in into the of-the first-called apostle Andrew church
προσευξόμενος. ὁ δὲ Βασίλειος περὶ τὴν οἰκείαν διακονίαν,
going-to-pray — but Basil about the own ministry
ὡς ἔοικεν, ἀσχολούμενος οὐ συνεισῆλθεν αὐτῷ, ἀλλ᾽ ὕστερον
as it-seems being-busy not went-in-with him but later
καταμόνας τὸ ὀφειλόμενον καὶ αὐτὸς τῷ ἀποστόλῳ
alone the owed also himself to-the apostle
σέβας ἀποδιδοὺς πρὸς τὸν τοιοῦτον ναὸν παραγέγονε.
reverence paying to the such church came
μοναχὸς δέ τις ἐκεῖσε ποιούμενος τὰς διατριβὰς καὶ τὸν
monk but some there making the stay and the
πλείονα χρόνον ἐν τῷ τοῦ ἀποστόλου σχολάζων ναῷ
more time in the of-the apostle spending church
τὸν μὲν Θεόφιλον εἰσελθόντα ἰδὼν οὔτε διανέστη οὔτε
— indeed Theophilus having-entered having-seen neither rose nor
ἐπηύξατο οὔτε τινὸς ἠξίωσε ῥήματος, μηδὲ τὴν περὶ
prayed-for-him nor any deemed-worthy word not-even the about
αὐτὸν ὡς εἰκὸς δορυφορίαν καὶ λαμπρότητα αἰδεσθείς·
him as likely bodyguard and splendor having-respected
ὕστερον δὲ τοῦ Βασιλείου εἰσερχομένου ὑπεξανέστη τε ὥς
later but — Basil entering he-rose-up both as
τινι τῶν κρειττόνων καὶ τὴν ἐξ ἔθους τοῖς βασιλεῦσιν
to-some of-the greater-ones and the from custom to-the emperors
εὐφημίαν προσήνεγκεν. ὅπερ τῶν ἐκεῖσε τυχόντων
acclamation offered which of-the(-ones) there being

ἰδόντες καὶ ἀκηκοότες τινὲς τῇ κατὰ τοὺς τόπους
having-seen and having-heard some to-the in the places
ἐκείνους εὐγενεῖ καὶ πλουσιωτάτῃ γυναικί, ἣ Δανηλὶς
those noble and richest woman who Danelis
ἀπὸ τοῦ ταύτης ἀνδρὸς ὠνομάζετο, ἀπαγγέλλουσιν. ἐκείνη
from the her husband was-named report she
δὲ διὰ πείρας τὸν μοναχὸν γινώσκουσα, ὅτι προορατικοῦ
but by experience the monk knowing that of-prophetic
χαρίσματος κατηξίωται, οὐκ ἐγένετο περὶ τὸ
gift he-had-been-deemed-worthy not became about the(-thing)
λεχθὲν ἀμελής, ἀλλὰ μετακαλεσαμένη τὸν μοναχὸν διῆλθε
said careless but having-summoned the monk went-through
προσονειδίζουσα. "τοσοῦτος χρόνος ἐξ οὗ σοι γνώριμος"
reproaching so-much time from when to-you known
ἔφη "τυγχάνω, πάτερ πνευματικέ, καὶ οἶδάς με πάντως
she-said I-happen father spiritual and you-know me surely
οὖσαν ὑπὲρ τοὺς πολλοὺς καὶ τῶν ἐν τῇ χώρᾳ
being above the many and of-the(-women) in the country
ταύτῃ ὑπερέχουσαν καὶ προάρχουσαν, καὶ οὐδέποτε οὔτ'
this excelling and leading and never either
ἐπηγέρθης θεασάμενός με οὔτε ἐπηύξω μοι, ἀλλ' οὐδὲ
you-rose having-seen me or you-prayed-for me but not-even
τῷ υἱῷ ἢ τῷ ἐκγόνῳ μου τὴν τοιαύτην τιμὴν ἀπένειμας.
to-the son or to-the grandson my the such honor you-assigned
καὶ πῶς νῦν ἄνθρωπον εὐτελῆ καὶ ξένον μηδὲ γνώριμον
and how now man paltry and stranger not-even known
τοῖς πολλοῖς ἰδὼν καὶ ὑπεξανέστης καὶ ὡς βασιλέα
to-the many having-seen both you-rose-up and as emperor
ἐτίμησας;" ὁ δὲ εὐλαβὴς ἐκεῖνος μοναχὸς πρὸς αὐτὴν
you-honored the but devout that monk to her
ἀπεκρίνατο ὅτι οὐχ ὡς σὺ λέγεις, ἕνα τῶν τυχόντων
answered that not as you say one of-the chance-ones

εἶδον τὸν ἄνδρα ἐγώ, ἀλλ' ὡς μέγαν βασιλέα τῶν
saw the man I but as great emperor of-the
Ῥωμαίων ὑπὸ Χριστοῦ κεχρισμένον εἶδον, καὶ ἐξανέστην
Romans by Christ anointed I-saw and I-rose-up
καὶ ἐπευφήμησα· τοῖς γὰρ ὑπὸ θεοῦ τετιμημένοις
and acclaimed to-the(-ones) for by god honored
ὀφειλομένη πάντως ἐστὶ καὶ ἡ ἐξ ἀνθρώπων τιμή."
owed surely is also the from men honor
διατρίψαντος τοίνυν ἐν τοῖς ἐκεῖσε μέρεσιν ἐπὶ χρόνον
having-spent therefore in the there parts for time
τινὰ τοῦ κυρίου τοῦ Βασιλείου, καὶ τὰς ἐπιτραπείσας
some the master — of-Basil and the entrusted
αὐτῷ τοῦ δημοσίου δουλείας ἀνύσαντος καὶ ἀνατρέχειν
to-him of-the public services having-accomplished and to-run-back
πρὸς τὴν βασιλεύουσαν μέλλοντος, ἐπεὶ ἔτυχεν ἀσθενείᾳ
to the reigning-city being-about since it-happened by-sickness
σώματος ληφθεὶς ὁ Βασίλειος, αὐτόθι καταλιμπάνεται.
of-body taken — Basil there is-left-behind
ἐπιμελείας δὲ τῆς προσηκούσης τυχὼν μετὰ χρόνον
care but the befitting having-obtained after time
τινὰ τῆς νόσου κρείττων ἐγένετο καὶ πρὸς τὴν ἄνοδον
some than-the disease stronger he-became and for the going-up
καὶ αὐτὸς ἡτοιμάζετο. μετακαλεσαμένη δὲ αὐτὸν ἡ
also himself was-preparing having-summoned but him the
προρρηθεῖσα γυνὴ Δανηλὶς πολλοῖς καὶ μεγάλοις δεξιοῦται
aforesaid woman Danelis with-many and great welcomes
χαρίσμασιν, ἐμφρόνως πάνυ καὶ συνετῶς ὥσπερ τινὰ
gifts sensibly very and intelligently as some
σπόρον εἰς ἀγαθὴν αὐτὰ καταβαλλομένη χώραν, ἵνα
seed into good them casting land that
ἀμήσῃ παμπολλαπλασίονα ἐν εὐθέτῳ καιρῷ· δέδωκε γὰρ
she-may-reap many-times-more in convenient season she-gave for

αὐτῷ καὶ χρυσὸν ἱκανὸν καὶ ἀνδράποδα πρὸς ὑπηρεσίαν
him both gold sufficient and slaves for service
τριάκοντα καὶ ἐν ἱματισμῷ καὶ διαφόροις εἴδεσι πλοῦτον
thirty and in clothing and various kinds wealth
πολύν, μηδὲν ἕτερον ἐπιζητήσασα τὸ πρότερον παρ' αὐτοῦ
much nothing other having-sought the first from him
ἢ τὸ ποιήσασθαι πνευματικῆς ἀδελφότητος σύνδεσμον
than the to-make of-spiritual brotherhood bond
πρὸς Ἰωάννην τὸν ταύτης υἱόν. ὁ δὲ ὡς ὑπὲρ αὐτὸν
with John the her son he but as above him
μᾶλλον οὖσαν διωθεῖτο τὴν ἔντευξιν διὰ τὸ δοκοῦν τῆς
rather being pushed-away the meeting because-of the seeming of-the
γυναικὸς περιφανὲς καὶ τὸ αὐτοῦ κατὰ τὸ ὁρώμενον
woman distinguished and the his by the(-thing) seen
εὐτελές. ὅμως πλείονα παράκλησιν δεξάμενος ὑπ' αὐτῆς
paltry nevertheless more entreaty having-received from her
τοῦτο πεποίηκε. καὶ τότε οἱονεὶ ἐπὶ πλέον θαρρήσασα
this he-did and then as-it-were to more having-taken-courage
εἶπε φανερῶς πρὸς αὐτὸν ὅτι σε ὁ θεὸς μέγαν
she-said openly to him that you — god great
ἄνθρωπον ἔχει καὶ ἐπὶ μεγάλης μέλλει τιμῆς ἀνυψοῦν,
man has and to great is-going honor to-exalt
καὶ οὐδὲν ἕτερον ἐπιζητῶ ἢ ἀπαιτῶ παρὰ σοῦ πλὴν ἵνα
and nothing other I-seek or demand from you except that
ἀγαπᾷς καὶ ἐλεῇς ἡμᾶς. ὁ δὲ τῆς γῆς ἐκείνης ἁπάσης,
you-may-love and may-pity us he but of-the land that all
εἰ δυνατόν, κυρίαν αὐτὴν ἀποφῆναι, εἰ τοῦτο ἔσται,
if possible mistress her to-make if this shall-be
κατεπηγγείλατο. καὶ οὕτως ἐκεῖθεν ἀπάρας ἀνῄει καὶ
promised and so from-there having-set-out went-up also
Gryllus with the high-priestly vestments as in
ὄνομα τοῦ ἀληθῶς πατριάρχου πλησιαίτατα ἑαυτοῦ
name of-the truly patriarch nearest to-himself
παρακαθισάμενος, καὶ τὴν ἀρχιερεῖ θεοῦ πρέπουσαν
having-seated-beside and the to-high-priest of-god befitting
ἀπονέμων τιμήν, καὶ μετὰ τοῦ τῆς κεφαλῆς καλύμματος
assigning honor and with the of-the head covering
ἐπικρύψασθαι τὴν ἐξάγιστον γενειάδα πεποιηκώς, τὴν ἰδίαν
to-hide the abominable beard having-made the own
μητέρα διά τινος τῶν θαλαμηπόλων εὐνούχων δηλοῖ
mother through some of-the chamber eunuchs informs
ὡς ὁ ἁγιώτατος πατριάρχης Ἰγνάτιος ἐνταῦθα μετ᾽ ἐμοῦ
that the most-holy patriarch Ignatius here with me
συγκαθέζεται, καὶ εἰ βούλει λαβεῖν τὴν εὐχὴν αὐτοῦ, ἐλθέ,
sits-together and if you-wish to-receive the blessing his come

καὶ μετ᾽ ἐμοῦ τυγχάνεις αὐτῆς. ἐκείνη δὲ οἷα φιλευσεβὴς
and with me you-obtain it she but as pious
γυνὴ καὶ φιλόθεος, πόθον πολὺν καὶ πίστιν ζέουσαν πρὸς
woman and god-loving longing much and faith boiling toward
τὸν ἁγιώτατον κεκτημένη Ἰγνάτιον, σπουδαίως ἐκδραμοῦσα
the most-holy having Ignatius eagerly having-run-out
ὡς ἤκουσε, καὶ μηδὲ ἀτενίσαι δι᾽ αἰδῶ δυναμένη, ἔξω
as she-heard and not-even to-gaze for modesty being-able outside
δὲ πάσης κακίας καὶ ὑπονοίας τυγχάνουσα καὶ μηδέν τι
but of-all malice and suspicion being and nothing at-all
φαῦλον ὑποτοπήσασα, προσέπεσε τοῖς ποσίν, ὡς ἐδόκει,
bad having-suspected fell at-the feet as it-seemed
τοῦ ἁγίου ἐκείνου ἀρχιερέως, καὶ ὑπὲρ αὐτῆς ἐδέετο
of-the holy that high-priest and for her begged
εὔχεσθαι. ὁ δὲ παμμίαρος ἐκεῖνος τῆς καθέδρας ὀλίγον
to-pray the but utterly-polluted that from-the seat little
ὑπεγερθεὶς καὶ ἀπ᾽ αὐτῆς τοὐναντίον ἀποστραφείς, ὀνώδη
having-risen and from her the-opposite-way having-turned asinine
ψόφον ἀπὸ τῶν μυσαρῶν ἐγκάτων ἀφείς, πρὸς αὐτὴν
noise from the foul bowels having-let-off to her
ἀπεφθέγξατο ὅτι ἵνα μὴ λέγῃς, κυρά, ὡς οὐδὲ κἂν
uttered that that not you-may-say lady that not even
τούτῳ σε ἠξιωσάμεθα. τοῦ δὲ βασιλέως ἀνακαγχάσαντος
in-this you we-deemed-worthy of-the but emperor having-guffawed
καὶ αὐτοῦ τοῦ παμβεβήλου παμμέγεθες ἐκγελάσαντος,
and himself the utterly-profane enormously having-laughed-out
καὶ πολλὰ καταφλυαρησάντων ἢ μᾶλλον τῷ παραφόρῳ
and much having-babbled or rather by-the frenzy
τῆς γνώμης ἀλογώτατα ἐξοιστρησάντων, ἐπιγνοῦσα τὸ
of-the mind most-irrationally having-raved having-recognized the
πλάσμα καὶ τὴν ἀπάτην ἡ βασιλίς, καὶ πολλὰ τῶν
fiction and the deceit the empress and much before-the(-ones)

παρόντων καταστενάξασα, καὶ πλείστας ἀρὰς τῷ υἱῷ
present having-groaned and very-many curses on-the son
ἐπιρρίψασα, τέλος ἐξεῖπε πρὸς αὐτὸν ὅτι ἰδού, κακὸν
having-cast at-last spoke-out to him that behold evil
τέκνον, ὁ θεὸς τὴν χεῖρα αὐτοῦ ἀφείλετο ἀπὸ σοῦ, καὶ
child — god the hand his has-taken-away from you and
ἐδόθη σοι ἀδόκιμος νοῦς ποιεῖν τὰ μὴ καθήκοντα.
was-given to-you reprobate mind to-do the(-things) not befitting
καὶ ταῦτα εἰποῦσα καὶ μετ᾽ ὀδυρμοῦ θρήνων τὰς οἰκείας
and these-things having-said and with wailing of-laments the own
τρίχας ἐκτίλλουσα ἀνεχώρησεν. τοιαῦτα τοῦ γενναίου
hairs tearing withdrew such of-the noble
βασιλέως τὰ νεανιεύματα, καὶ τοιαύτη αὐτοῦ ἡ περὶ τὰ
emperor the youthful-exploits and such his the about the
θεῖα καὶ τοὺς ἱεροὺς ἄνδρας ὁσιότης τε καὶ εὐλάβεια.
divine-things and the holy men holiness both and piety
Τοιούτων δὲ καὶ χειρόνων πολλῶν καθ᾽ ἑκάστην παρὰ 24
such but and worse many by each(-day) through
πάντα τὸν τῆς βασιλείας αὐτοῦ χρόνον παρ᾽ αὐτοῦ
all the of-the reign his time by him
γινομένων, ἐπεὶ καὶ μετὰ τὸ προσλαβέσθαι καὶ ἀνυψῶσαι
being-done since even after the to-take-on and to-exalt
τὸν Βασίλειον περὶ τὰ ὅμοια ἀνεστρέφετο, ὁρῶν ταῦτα
— Basil about the like-things he-busied-himself seeing these-things
καὶ ἀκούων ἐκεῖνος λίαν ἐδυσφόρει καὶ ἠνιᾶτο καὶ τὴν
and hearing that-one very was-vexed and was-grieved and the
ἑαυτοῦ ζωὴν ἀπελέγετο. βουλόμενος δὲ πᾶσαν τὴν δυνατὴν
his-own life renounced wishing but all the possible
ἐπιφέρειν βοήθειαν καὶ μηδὲν τῶν εἰς ἐπανόρθωσιν
to-bring help and nothing of-the(-things) toward correction
δοκούντων τείνειν παραλιπεῖν, πρότερον μὲν δι᾽ ἑτέρων
seeming to-tend to-leave-out first indeed through others

ἐπειρᾶτο ἀπὸ τῶν τοιούτων ἀποτρέπειν αὐτὸν καὶ πρὸς τὸ
he-tried from the such-things to-turn him and to the
δέον ἐπαναγαγεῖν, ἔπειτα ἐθάρρησέ ποτε καὶ αὐτὸς δι᾽
needful to-bring-back then he-dared once also himself through
ἑαυτοῦ μετ᾽ εὐνοούσης γνώμης καὶ προαιρέσεως νουθετῆσαι
himself with well-disposed mind and purpose to-admonish
τὸν βασιλέα, καὶ εἰ δυνατόν, ἀποστῆσαι τῶν τοιούτων
the emperor and if possible to-remove-him from-the such
ἀσεβημάτων, καὶ τοιάδε πρὸς αὐτὸν μεθ᾽ ὑποπεπτωκότος
impieties and such-things to him with submissive
καὶ ταπεινοῦ διελέχθη τοῦ σχήματος. "δίκαιόν ἐστιν, ὦ
and humble conversed the bearing just it-is O
δέσποτα καὶ βασιλεῦ, τοσούτων εὐεργεσιῶν τε καὶ δωρεῶν
master and emperor of-so-many benefits both and gifts
παρὰ σοῦ με καταπολαύσαντα καὶ εἰσηγεῖσθαι τὰ δέοντα
from you me having-enjoyed both to-propose the needful-things
καὶ ὑποτιθέναι τὰ ἄριστα καὶ ὑπομιμνήσκειν τὰ λυσιτελῆ
and to-suggest the best and to-remind the profitable
καὶ σωτήρια. μισούμεθα, γίνωσκε, δέσποτα, μισούμεθα"
and saving-things we-are-hated know master we-are-hated
(συγκατεμίγνυε γὰρ καὶ ἑαυτὸν διὰ τὸ ἀνεπαχθές, καίτοι
he-mingled for also himself because-of the inoffensive although
μηδενὸς τῶν ἀτόπων αὐτῷ κοινωνῶν) "παρά τε τῆς πόλεως
in-none of-the outrages with-him sharing by both the city
πάσης καὶ τῆς συγκλήτου βουλῆς, καὶ παρὰ τῶν ἀρχιερέων
all and the senatorial council and by the high-priests
θεοῦ ἐπάρατοι καθεστήκαμεν, καὶ πάντες ἡμᾶς διαβάλλουσι
of-god accursed we-have-become and all us slander
καὶ κακίζουσιν. ὅτε δὲ καὶ τὸ ἐξ ἀνθρώπων εἰς οὐδὲν
and revile when but even the(-thing) from men as nothing
λογισώμεθα, δεδοικέναι καὶ τὴν ἀπὸ θεοῦ ἀγανάκτησιν
we-may-reckon to-fear also the from god indignation

χρή, καὶ φοβεῖσθαι μὴ πειραθῶμεν αὐτοῦ ὀργιζομένου
it-is-needful and to-be-afraid lest we-experience him being-angry
καὶ χαλεπαίνοντος.” ἀλλὰ ταῦτα λέγων πέτρας ἔσπειρεν
and being-harsh but these-things saying rocks he-sowed
καὶ αἰγιαλῷ προσελάλει καὶ σμήχειν ἐῴκει Αἰθίοπα· οὕτω
and to-shore talked and to-wash seemed Ethiopian so
δευσοποιὸς ἡ πονηρία γέγονε παρ᾽ αὐτῷ, καὶ οὕτως
fast-dyed the wickedness had-become in him and so
ἐξεκώφει πρὸς πάντα λόγον σωτήριον, βύων τὰ ὦτα ὡσεὶ
he-was-deaf to every word saving stopping the ears like
ἀσπὶς πρὸς ἐπᾴσματα. οὐ μόνον γὰρ οὐ μετεβάλλετο πρὸς
asp to charms not only for not he-changed toward
τὸ ἄμεινον, ἀλλὰ καὶ αὐτὸν ἤδη ἐμίσει καὶ ἀπεστρέφετο,
the better but also him already hated and turned-from
καὶ σὺν τοῖς θιασώταις αὐτοῦ καὶ συνοργιασταῖς διαβάλλων
and with the revelers his and fellow-celebrants slandering
καὶ μυκτηρίζων ταῦτα τὴν πρὸς αὐτὸν ἀλλοτρίωσιν
and sneering-at these-things the toward him estrangement
ὑπηνίττετο, εἶτα καὶ παρεδήλου τρανότερον. ὅπερ δὴ
hinted then also showed more-clearly which indeed
συννοήσαντες ἐκεῖνοι οἱ μιαροὶ καὶ ἀλάστορες κατ᾽
having-perceived those the polluted and accursed(-men) against
αὐτοῦ συνεκινοῦντο καὶ συνετάττοντο, καὶ τὰς διαβολὰς
him were-moved-together and drew-up and the slanders
πιθανῶς ὑπεκρίναντο, αὐθάδειαν μὲν καλοῦντες αὐτοῦ
plausibly acted-out arrogance indeed calling his
τὴν σεμνότητα, καὶ τὸ μὴ μετέχειν τῶν ἡδονῶν δύσνοιαν
the dignity and the not to-share of-the pleasures ill-will
ὀνομάζοντες καὶ τὸ μὴ συνεξαμαρτάνειν καταφρονεῖν.
naming and the not to-sin-with to-despise

καὶ "πῶς γὰρ ἂν εἴποι σε ἀγαπᾶν" ἔλεγον "ὁ μὴ
and how for — could-say you to-love they-said the(-one) not
χαίρων οἷς χαίρεις αὐτός, μηδὲ συσπουδάζων ἐκπορίζειν
rejoicing in-what rejoice you-yourself nor zealous-together to-provide
σοι τὰ καθ' ἡδονήν;" οἷς δὴ μᾶλλον ὑπενδιδοὺς ὁ
for-you the(-things) for pleasure to-which indeed rather yielding the
βασιλεὺς καὶ πειθόμενος θάνατον τῷ Βασιλείῳ ἐτύρευεν, καὶ
emperor and being-persuaded death — for-Basil contrived and
ἀφορμὴν ἐζήτει τῆς ἀναιρέσεως εὔλογον, ἀλλ' οὐχ εὕρισκεν.
pretext sought of-the killing reasonable but not he-found
εἰς τοσοῦτον δὲ προῆλθε τὰ τῆς μανίας αὐτοῦ ὥστε
to so-far but advanced the(-things) of-the madness his so-that
πρὸς τὴν λαθραίαν χωρῆσαι ἀναίρεσιν καί τισι τῶν
to the secret to-go killing and some of-the(-men)
ἀπὸ τοῦ παλαμναίου συνεδρίου, οἷς τὰ πάντα ἐθάρρει,
from the bloodstained council to-whom the all-things he-trusted
προτρέψασθαι, ὅταν εἰς θήραν ἐξέλθωσι, προφάσει τοῦ τὸ
to-exhort when to hunt they-go-out on-pretext of-the the
θηρίον βαλεῖν ἀκοντίσαι τὴν λόγχην κατ' αὐτοῦ καὶ οὕτως
beast to-hit to-hurl the lance at him and so
αὐτὸν διαχρήσασθαι· ὅπερ εἷς, ὥς φασι, πεποιηκὼς καὶ
him to-make-away-with which one as they-say having-done and
ἀφεὶς τὸ ἀκόντιον αὐτοῦ μὲν ἥμαρτε, καὶ παραδραμὸν
having-let-fly the javelin him indeed missed and having-run-past
τὸ δόρυ προσεπάγη τῇ γῇ, αὐτὸν δὲ ὁ ἵππος αἴφνης τὸν
the spear was-fixed in-the ground him but the horse suddenly the
χαλινὸν ἐνδακὼν καὶ συναρπάσας κατὰ τοῦ κρημνοῦ
bit having-seized-in-teeth and having-snatched-up over the cliff
ἀπεδίσκευσεν, ὡς ἀπ' ἐκείνου τοῦ πτώματος καὶ τὸ τέλος
hurled so-that from that the fall also the end
ἐλθεῖν ἐπ' αὐτόν, ὅτε καὶ ἀνόνητα μεταμελόμενος, ὥς
to-come upon him when also uselessly repenting as

φασι, τοῖς συμμύσταις ἐπέσκηπτε μὴ τολμῆσαι κατὰ τοῦ
they-say to-the fellow-initiates he-charged not to-dare against the
ἀναιτίου ἐπιχειρεῖν τοῦ λοιποῦ, εἰ μὴ τολμῆσαι κατὰ τὸν
guiltless to-attempt for-the rest if not to-dare into the
ὅμοιον ὄλεθρον πεσεῖν καὶ αὐτοί· καί τινα τῶν εὐλαβῶν
like destruction to-fall also themselves and some of-the devout
προσκαλεσάμενος μετὰ τῶν λοιπῶν ἀτοπημάτων αὐτοῦ
having-summoned with the other outrages his
καὶ ἀνομιῶν καὶ τοῦτο ἐξωμολογήσατο καὶ ἐξηγόρευσεν.
and lawless-deeds also this confessed and declared
Ὡς δ' οὐκ εἶχε λοιπὸν εὑρεῖν ὁ βασιλεὺς πρὸς τὸ 25
when but not could henceforth to-find the emperor for the
ἀνελεῖν αὐτὸν πόρον ἢ πρόφασιν, εἰς ἑτέραν ἦλθε βουλὴν
to-kill him means or pretext to other came counsel
πονηράν τε καὶ ἄθεσμον. ἐβουλεύσατο γὰρ ἐπεμβαλεῖν
wicked both and lawless he-planned for to-bring-in
τοῖς σκήπτροις καὶ ἕτερον σύγκληρον. καὶ δὴ τὸν
to-the scepters also other co-heir and indeed the
κατ' ἐπωνυμίαν Βασιλικῖνον ἐκεῖνον, ἕνα καὶ αὐτὸν τοῦ
by surname Basilikinos that-one one also himself of-the
παλαμναίου συνεδρίου τυγχάνοντα, φαῦλον καὶ μιαρὸν
bloodstained council being worthless and polluted
θηλυδρίαν τε καὶ φιλόκωμον, ἀπὸ τῆς Νικομήδους
effeminate both and revel-loving from the of-Nicomedes
ὁρμώμενον, ὁμόγνιον ἀδελφὸν τοῦ κατὰ τὸν Καπνογένην
setting-out full brother of-the by-name the Capnogenes
Κωνσταντίνου, τοῦ δὶς τὴν τοῦ ὑπάρχου μετὰ ταῦτα
Constantine the(-one) twice the of-the prefect after these-things
ἐγχειρισθέντος ἀρχήν· τότε δὲ ἐν τοῖς ἐλαύνουσιν εἰς
entrusted-with office then but among the(-ones) rowing on
τὴν βασιλικὴν τριήρη κατειλεγμένος ἐτύγχανε. τοῦτον δὴ
the imperial trireme enrolled happened this-one indeed

τὸν δυσώνυμον Βασιλικῖνον ἐνδύει ποτὲ τὴν πολυύμνητον
the ill-named Basilikinos clothes once the much-hymned
βασιλικὴν πορφύραν καὶ τὸν περίοπτον καὶ ἐπίφθονον
imperial purple and the conspicuous and envied
στέφανον χλαμύδα τε πάγχρυσον καὶ τὰ κοκκοβαφῆ καὶ
crown cloak both all-golden and the scarlet-dyed and
διάλιθα πέδιλα καὶ τἆλλα τῆς βασιλείας ἐπίσημα, ἐξάγει
jeweled sandals and the-other of-the empire insignia leads-out
τε αὐτὸν πρὸς τὴν σύγκλητον τῆς χειρὸς ἅμα κρατῶν
both him to the senate by-the hand at-once holding
καὶ ὑπουργῶν αὐτῷ, ὡς ὁ Νέρων ἐκεῖνος πάλαι τὸν
and serving him as — Nero that-one of-old the
πολυθρύλητον Ἔρωτα, καὶ φησιν ἐπὶ λέξεως ἴδετε πάντες
much-talked-of Eros and says on word see all
ὑμεῖς, καὶ θαυμάσατε. ἆρα οὐ πρέπει αὐτὸν εἶναι βασιλέα;
you and wonder — not befits him to-be emperor
πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος, τὸ δεύτερον δὲ συμφυὲς
first indeed form worthy of-tyranny the second but natural
πέλει στέφος, ἅπαντα δ' ἁρμόζουσι πρὸς τὴν ἀξίαν. καὶ
is crown all-things but fit to the dignity and
ὅτι πόσον ἦν κάλλιον τοῦτόν με ποιῆσαι βασιλέα ἢ τὸν
that how-much was better this-one me to-make emperor than —
Βασίλειον; ταῦτα πάντες οἱ κατὰ τὰ βασίλεια ἰδόντες
Basil these-things all the(-ones) in the palace having-seen
τε καὶ ἀκούσαντες ἔμειναν ἀχανεῖς, ἐκπληττόμενοι τὴν
both and having-heard remained agape being-astonished-at the
παράλογον ἐξ ἀφροσύνης τοῦ βασιλέως ἐμβροντησίαν τε
unreasonable from folly of-the emperor stupefaction both
καὶ παρακοπήν. οὕτως ἦν ἄνθρωπος ὑπὸ τῆς κατακοροῦς
and derangement so was man by the excessive

μέθης καὶ τῶν ἀθέσμων καὶ ἀσελγῶν πράξεων ὅλως
drunkenness and the lawless and licentious deeds wholly
τῶν δεόντων ἐξεστηκὼς καὶ φρενοπλὴξ καὶ παράφορος.
from-the needful-things deranged and frenzied and frantic
Πλὴν οὐ τὸ μειλίχιον μόνον καὶ λυαῖον καὶ τρυφηλόν 26
but not the gentle only and lyaean and luxurious
τε καὶ ἀνειμένον καὶ ἁπαλὸν καὶ παρακεκινηκὸς ἐκ τῆς
both and relaxed and soft and deranged from the
μέθης ἐκέκτητο τοῦ χαριδότου Διονύσου, ὃν μιμεῖσθαι
drunkenness he-had-acquired of-the grace-giving Dionysus whom to-imitate
ᾤετο καὶ ἐσπούδαζεν· ἀλλὰ καὶ ὡς ὠμηστὴς πάλιν
he-thought and was-zealous but also as raw-eater again
κατ᾽ αὐτὸν ἐκεῖνον εἶχε τὸ ἐρινυῶδές τε καὶ τιτανικόν,
after very that-one he-had the fury-like both and titanic
καὶ πολλάκις κωμικὴ παννυχὶς εἰς τραγῳδίαν συμφορῶν
and often comic all-night-revel into tragedy of-misfortunes
ἐτελεύτησεν. ἔκ τε γὰρ τῆς μέθης παροινῶν καὶ ἐκ
ended from both for the drunkenness being-drunken and from
τῆς εὐτυχίας παρανόμως εἰς ἅπαν ἐξώκειλε δυσσεβές.
the good-fortune lawlessly into all ran-aground impious
ὅτε οὖν ὅλος τοῦ ἀκράτου καὶ τῆς μέθης ἐγένετο
when then wholly of-the unmixed-wine and of-the drunkenness he-became
καὶ πάντῃ τὰς οἰκείας φρένας ἀπώλεσε, πρὸς φόνους
and in-every-way the own wits lost to murders
ἐχώρει καὶ πρὸς ἀναιτίων ἀνθρώπων ἀλλοκότους ποινὰς
he-went and to of-guiltless men strange punishments
καὶ σφαγάς, καὶ τοῖς ὑπηρέταις ἐνεκελεύετο, τὸν δεῖνα,
and slaughters and to-the servants he-ordered the so-and-so
φησί, καὶ δεῖνα λαβόντες τῷ δημίῳ παράδοτε, καὶ
he-says and so-and-so having-taken to-the executioner hand-over and
ἑτέρου τοὺς ὀφθαλμοὺς ἐξορύξατε, καὶ ἄλλου τὰς χεῖρας
of-another the eyes gouge-out and of-another the hands

καὶ τοὺς πόδας ἐκκόψατε. καὶ οὗτος κεφαλῆς τιμωρείσθω,
and the feet cut-off and this-one of-head let-be-punished
κἀκεῖνος γενέσθω πυρίκαυστος. οὓς λαβόντες οἱ ὑπηρέται,
and-that-one let-be-made burned-with-fire whom having-taken the servants
καὶ τῷ ἔξω τῶν φρενῶν αὐτὸν τυγχάνειν, ὅταν ἐξῆγε
and by-the outside of-the wits him to-be when he-issued
τὰς ἀποφάσεις, γινώσκοντες, ἐμφρούρους μὲν αὐτοὺς
the sentences knowing in-custody indeed them
ἐποίουν, ταῖς ποιναῖς δὲ οὐ καθυπέβαλλον. πολλάκις δέ, εἰ
they-made to-the punishments but not subjected often but if
ἔτυχέν τις πρὸς ὃν οὐκ εἶχον ἡδέως ἀλλ' ἀπεχθῶς,
there-happened anyone toward whom not they-were pleasantly but hatefully
ἀπεχρῶντο τῇ βασιλικῇ κελεύσει, καὶ τῇ τιμωρίᾳ τὸν
they-abused the imperial command and by-the punishment the
ἀθῷον ἐξεδίκουν κατάδικον. εἶτα ὁ δείλαιος ἐκεῖνος καὶ
guiltless punished condemned then the wretched that and
ἄθλιος τότε μὲν οὐδ' ἐν οἷς ἔστιν εἰδώς, παρὰ τῶν
miserable then indeed not-even in what he-is knowing by the
κατευναστῶν τῷ βασιλικῷ προσανεκλίνετο σκίμποδι καὶ
chamberlains on-the imperial was-laid couch and
τῷ γείτονι τοῦ θανάτου ὕπνῳ ὡς ἀνδράποδον ἐξεδίδοτο·
to-the neighbor of-the death sleep like slave was-given-up
ἔωθεν δέ, τοῦ ὕπνου τοὺς ἐκ τοῦ οἴνου ἀτμοὺς καὶ
at-dawn but the sleep the from the wine vapors and
τὴν παχεῖαν ἐκείνην ἀχλὺν μόλις ἀπὸ τοῦ ἐγκεφάλου
the thick that mist scarcely from the brain
διασκεδάσαντος, ἐξεγειρόμενος οὐδὲν τῶν ἐν τῇ ἑσπέρᾳ
having-scattered waking-up nothing of-the(-things) in the evening
ἐμέμνητο, καὶ ἐζήτει πολλάκις τινὰς ἀφ' ὧν ἐν τῇ μέθῃ
he-remembered and sought often some of whom in the drunkenness
κατεψηφίσατο καὶ τῷ θανάτῳ ἐξέδωκε, μανθάνων δὲ παρὰ
he-had-condemned and to-the death had-given-up learning but from

τῶν δορυφόρων τε καὶ ὑπηρετῶν ἃ ἐν τῇ ἑσπέρᾳ κατ᾽
the guards both and servants what in the evening against
αὐτῶν ἐψηφίσατο, μετεμελεῖτο καὶ ἔστενεν. καὶ ἄλλοτε
them he-had-voted he-repented and groaned and at-other-times
μὲν εὑρίσκοντο οἱ ζητούμενοι, ἄλλοτε δὲ ἀνόνητος
indeed were-found the(-ones) sought at-other-times but useless
ἦν αὐτῷ ἡ ἐπὶ τοῖς ἀνοσίοις τῶν ἔργων μετάνοια,
was for-him the at the unholy of-the deeds repentance
τῶν ἐκδοθέντων ἀνῃρημένων. πάλιν δὲ τῆς ἑσπέρας
of-the(-ones) handed-over having-been-killed again but the evening
καταλαβούσης, καὶ νεανικῶς τοῦ πότου πόρρω τῆς νυκτὸς
having-come and youthfully the drinking far of-the night
μετὰ τῶν ἀλαστόρων ἔργων καὶ λόγων προκόπτοντος,
with the accursed deeds and words advancing
ἐν τοῖς ὁμοίοις ἐγίνετο. ἃ τίς ἀκούων τε καὶ ὁρῶν, εἰ
in the like-things he-was which who hearing both and seeing if
καὶ λιθίνην καρδίαν ἐκέκτητο ἢ παντάπασιν ἀναίσθητος
even stony heart had or altogether insensible
ἦν, μὴ πρὸς ὀργὴν ἐκινήθη καὶ διεθερμάνθη ποτὲ πρὸς
was not to anger was-moved and grew-hot ever toward
τὴν τῶν ἀναιτίως ἀπολλυμένων ἐκδίκησιν; μηδὲ τὸν
the of-the(-ones) guiltlessly perishing vengeance not-even the
πραότατον πάντων ἀνθρώπων Δαβὶδ ἀνασχέσθαι οἶμαι τὴν
gentlest of-all men David to-have-endured I-think the
τοσαύτην τοῦ καθάρματος παροινίαν· ἠλιθιότης γὰρ καὶ
so-great of-the scum drunken-violence foolishness for and
ἀναλγησία, οὐ μακροθυμία ἐνταῦθα λογίζεται ἡ φειδώ.
insensibility not long-suffering here is-reckoned the forbearance

Michael, having squandered on charioteers and buffoons the thousand centenaria his parents left, is killed by the leading men, asleep from wine, at St. Mamas. Basil, acclaimed emperor, dedicates himself and the kingdom to Christ; finding only three centenaria, he has the recipients of Michael's gifts return half. News of victories greets his accession; he holds the consulship and gives from his own wealth. He appoints incorruptible officials and judges, restores the Chalke as a court, feeds plaintiffs while their cases are heard, hears suits himself, and has tax registers written in plain letters. He restores Ignatius, confirms the Seventh Council, and purges the civil laws.

27 Ἤδη δὲ πάντων σχεδὸν τῶν ἀποθέτων χρημάτων
already but of-all almost the stored moneys
ἐπιλειπόντων, ἐν τοῖς τοιούτοις ἀναλωθέντων αὐτῶν,
failing in the such-things having-been-spent they
ἀνάγκη ἐπήρτητο τοὺς ἐν τέλει πάντας φανερῶς
necessity hung-over the(-men) in office all openly
ἀποσφάττεσθαι καὶ δημεύεσθαι τὰς οὐσίας αὐτῶν, ἵν'
to-be-slaughtered and to-be-confiscated the estates their that
ἔχοι πόρον ὁ βασιλεὺς ἡνιόχοις καὶ πόρναις καὶ
may-have means the emperor for-charioteers and harlots and
ἀσελγέσιν ἀνθρώποις χαρίζεσθαι. ἑβδομήκοντα γὰρ καὶ
licentious men to-gratify seventy for and
ἐννακόσια κεντηνάρια κεχαραγμένου χρυσοῦ, χωρὶς ἀργύρου
nine-hundred centenaria of-minted gold without silver
τοῦ τε ἀσήμου καὶ ἐπισήμου, καταλιπόντος Θεοφίλου
the(-silver) both uncoined and coined having-left Theophilus
τοῦ πατρὸς αὐτοῦ ἐν τῷ φύλακι τηρούμενα τῷ βασιλικῷ,
the father his in the treasury being-kept the imperial
ἔτι δὲ καὶ Θεοδώρας τῆς τούτου μητρὸς ἄλλα προσθείσης
still but also Theodora the his mother other having-added

τριάκοντα καὶ ἀπαρτισάσης τὸν χίλια τῶν κεντηναρίων
thirty and having-completed the thousand of-the centenaria
ἀριθμόν, ἐν οὐδὲ ὅλοις τεσσαρεσκαίδεκα χρόνοις, ἀφ' οὗ
number in not-even whole fourteen years from when
τὴν τῶν ὅλων ἐξουσίαν οὗτος ἐδέξατο, πάντα διεφόρησε
the of-the whole authority this-one received all-things he-squandered
καὶ ἀνάλωσεν, ὡς μηδὲν ἕτερον μετὰ τὸν αὐτοῦ θάνατον
and spent so-that nothing other after the his death
εὑρεθῆναι πλὴν τρία καὶ μόνα κεντηνάρια. καὶ πῶς δὲ οὐκ
to-be-found except three and only centenaria and how too not
ἔμελλον ἐπιλιπεῖν, κἂν ἐκ ποταμῶν ἐπέρρει, οὕτως
were-they-going to-fail even-if from rivers they-flowed-in so
ἀσελγῶς καὶ ἀσώτως διασκιδνάμενα; ἡνιόχου γάρ ποτε
licentiously and profligately being-scattered of-charioteer for once
παιδίον δεξάμενος τοῦ οὕτω καλουμένου Χειλᾶ ὁλόκληρον
child having-received of-the so called Cheilas whole
αὐτῷ κεντηνάριον ἐδωρήσατο. ἀλλὰ καὶ τῷ πατρικίῳ
to-him centenarium he-gave but also to-the patrician
Ἡμερίῳ, ὃν Χοῖρον αὐτὸς μὲν ὁ βασιλεὺς διὰ τὴν τῆς
Hemerius whom Pig himself indeed the emperor because-of the of-the
ὄψεως ὠνόμαζεν ἀγριότητα, διὰ δὲ τὸ χοιρῶδες τοῦ βίου
face named savagery because-of but the swinish of-the life
μᾶλλον καὶ ῥυπαρὸν ἄξιος ἦν τῆς τοιαύτης προσρήσεως,
rather and filthy worthy he-was of-the such name
τούτῳ τοίνυν αἰσχρολογοῦντί ποτε κατενώπιον αὐτοῦ
to-this-one therefore talking-obscenely once before him
καὶ ταῖς ἀπὸ σκηνῆς φλυαρίαις καταχρωμένῳ, ἔκ τε
and with-the from stage nonsense using-to-excess from both
τοῦ παντελῶς ἀπερυθριᾶσαι καὶ μηδὲν τῶν ἐπονειδίστων
the altogether to-have-lost-shame and nothing of-the disgraceful-things
ὀκνῆσαι καὶ ψόφον ἀκόλαστον ἀπὸ τῆς μιαρᾶς ἀφέντος
to-shrink-from and noise licentious from the polluted having-let-off

γαστρός, οὕτω βαρὺν καὶ σφοδρῶς καταιγίζοντα ὥστε
belly so heavy and vehemently blasting that
καὶ τὸ φαῖνον φατλίον ἀποσβεσθῆναι, πεντήκοντα λιτρῶν
also the shining lamp to-be-extinguished fifty of-pounds
ἐπιδόσει ἐτίμησεν ὡς Ἡράκλειόν τινα τοῦτον ἆθλον
with-a-gift he-honored as Heraclean some this labor
ἀνύσαντι. καὶ πρὸς τοὺς ἄλλους δὲ τῶν ὁμοίων αὐτῷ
having-accomplished and toward the others too of-the like to-him
οὕτως ὑπέρμετροι αἱ δόσεις ἦσαν αὐτοῦ. ταῦτα δὲ εἰ μὲν
so excessive the gifts were his these-things but if indeed
εἰς στρατιώτας καὶ προμάχους καὶ ἀριστεῖς ἢ εἰς τοὺς
on soldiers and champions and heroes or on the(-men)
ἐπ᾽ ἄλλῳ τινὶ τῶν ἀγαθῶν διαφέροντας ἑτοίμως οὕτως
in other some of-the goods excelling readily so
προΐετο, μεγαλοψυχίας ἄν τις καὶ ἐλευθεριότητος καὶ
he-lavished of-magnanimity — anyone and of-liberality and
τρόπου φιλοτίμου ἐνόμισε σύμβολα· ὅτε δὲ εἰς μίμους
of-manner generous would-have-thought tokens when but on mimes
καὶ ἡνιόχους καὶ ὀρχηστὰς καὶ βωμολόχους καὶ κόλακας
and charioteers and dancers and buffoons and flatterers
καὶ βδελυρίας ἁπάσης μεστοὺς ἀφρόνως διεσκορπίζετο, εἰς
and of-loathsomeness all full senselessly it-was-scattered on
δέ τι τῶν σπουδαίων προῄει οὐδ᾽ ὀβολός, ἀσωτίας
but anything of-the serious went not-even obol of-profligacy
πάντως καὶ παροινίας καὶ ἐμπληξίας λογίσαιτ᾽ ἄν τις
surely and of-drunken-violence and of-folly would-reckon — anyone
εἶναι τεκμήρια. καὶ τούτων ἐπιλειπόντων ἤδη ἀνάγκη ἦν,
to-be evidences and these failing already necessity was
ὥσπερ εἴρηται, καὶ ναοὺς περισυλᾶσθαι καὶ εὐαγεῖς οἴκους
as has-been-said both temples to-be-plundered and holy houses
αἰχμαλωτίζεσθαι καὶ πάντας τοὺς πλέον τῶν ἄλλων
to-be-made-captive and all the(-ones) more than-the others

κεκτημένους εἰς χρήματα ἀναιρεῖσθαι καὶ ἀποσφάττεσθαι.
possessing in moneys to-be-killed and to-be-slaughtered
δι᾽ ἃ δὴ πάντα συμφρονήσαντες τῶν ἐν τέλει
because-of which indeed all having-agreed of-the in office
οἱ δοκιμώτατοι καὶ τὸ ἔμφρον τῆς συγκλήτου βουλῆς,
the most-esteemed and the sensible of-the senatorial council
διὰ τῶν προκοιτούντων τοῖς βασιλεῦσι στρατιωτῶν, ἐν
through the sleeping-before the emperors soldiers in
τοῖς παλατίοις τοῦ ἁγίου μάρτυρος Μάμαντος ἀναιροῦσιν
the palace of-the holy martyr Mamas kill
αὐτόν, ἐκ τῆς ἄγαν οἰνοφλυγίας ἀνεπαισθήτως τὸν ὕπνον
him from the excessive drunkenness unperceivingly the sleep
τῷ θανάτῳ συνάψαντα. ὥσπερ γὰρ τοὺς σκορπίους καὶ
with-the death having-joined as for the scorpions and
ἔχεις μόνον ἰδόντες καὶ πρὶν ἢ τρῶσαι ἀναιροῦσιν οἱ
vipers only having-seen and before than to-wound kill the
ἄνθρωποι διὰ τὴν ἐνυπάρχουσαν αὐτοῖς κακίαν, οὕτω
men because-of the inherent in-them evil so
καὶ τῶν ἀνδρῶν τοὺς ἰώδεις καὶ φονικοὺς πρὸ τοῦ τρῶσαι
also of-the men the venomous and murderous before the to-wound
καὶ ἀνελεῖν σπουδάζουσιν ἀποκτεῖναι οἱ ἐκ τούτων
and to-kill hasten to-kill the(-ones) from these
προσδοκῶντες τὸν κίνδυνον. καὶ οὗτος μὲν οὕτω βιούς,
expecting the danger and this-one indeed so having-lived
αἰσχρῶς τε καὶ ὀλεθρίως ἑαυτῷ καὶ τοῖς πράγμασι,
shamefully both and ruinously for-himself and for-the affairs
τοιοῦτον καὶ τὸ τέλος ἐδέξατο, τῶν προβεβιωμένων
such also the end received of-the(-things) having-been-lived-before
ἐπάξιον.
worthy

28 Προάγεται δὲ εὐθὺς ἐπὶ τὴν πάντων ἀρχὴν ὁ μέχρι τοῦδε
is-advanced but straightway to the of-all rule the until this
δευτερεύων ταύτης Βασίλειος, καὶ παρά τε τῆς ἐντίμου
second-in-rank of-it Basil and by both the honorable
βουλῆς καὶ τῶν ὑποβεβηκότων ταγμάτων καὶ παντὸς τοῦ
senate and the subordinate orders and all the
στρατεύματος καὶ τοῦ ὄχλου τοῦ ἀστικοῦ ὁ καὶ πρὸ
army and the crowd the urban the also before
τούτου δι᾽ ἱκετηρικῶν εὐχῶν ἐπιζητούμενος ἀναγορεύεται
this through suppliant prayers sought is-proclaimed
αὐτοκράτωρ Βασίλειος. ὃς ἅμα τῷ παρελθεῖν ἐπὶ τὴν
emperor Basil who at-once with-the to-come to the
τῶν ὅλων ἀρχὴν καὶ ἑαυτὸν καὶ τὰς τοῦ κράτους ἡνίας
of-the whole rule both himself and the of-the power reins
θεῷ ἀνατέθεικεν, εὐξάμενος ἐπὶ λέξεως τάδε "Χριστὲ
to-god dedicated having-prayed on word these-things Christ
βασιλεῦ, τῇ σῇ κρίσει τὴν βασιλείαν δεξάμενος σοὶ
king by-the your judgment the kingship having-received to-you
καὶ ταύτην καὶ ἐμαυτὸν ἀνατίθημι." προσκαλεσάμενος δὲ
both it and myself I-dedicate having-summoned but
αὐτίκα τοὺς τῆς γερουσίας προκρίτους καὶ ἐν ἀξιώμασι
at-once the of-the senate foremost and in dignities
προύχοντας, μετ᾽ αὐτῶν τὸν τῶν βασιλείων θησαυρῶν
excelling with them the of-the imperial treasures
ἀνέῳξε φύλακα· καὶ οὐδὲν ἕτερον ἐκ τοῦ τοσούτου τῶν
opened treasury and nothing other from the so-great of-the
χρημάτων πλήθους εὑρέθη πλὴν τρία καὶ μόνα, καθὼς ἤδη
moneys multitude was-found except three and only as already
καὶ πρὸ ὀλίγου μοι εἴρηται, κεντηνάρια. ζητήσας οὖν ὁ
also before little by-me has-been-said centenaria having-sought then the
βασιλεὺς τὴν τῆς ἐξόδου καταγραφήν, καὶ ταύτην εὑρὼν
emperor the of-the expenditure register and this having-found

παρά τινι τῶν εὐνούχων γέροντι τῷ πρωτοσπαθαρίῳ
with some of-the eunuchs old-man the protospatharius
Βασιλείῳ, καὶ γνοὺς ὅπου ταῦτα ἐχώρησε, βουλὴν
Basil and having-learned where these-things went counsel
περὶ τούτου τοῖς ἀρίστοις προύθηκεν· ὧν ἡ ψῆφος
about this to-the best put-forward of-whom the vote
ὁμοφώνως συνᾴδουσα αὐτοὺς ἐκείνους τοὺς κακῶς
unanimously agreeing themselves those the(-ones) wrongly
ταῦτα λαβόντας ἀντιστρέψαι πρὸς τὸ δημόσιον, ὁ
these-things having-received to-return to the treasury the
βασιλεὺς τὸ ἄγαν ὑποθραύων δίκαιον τὰς ἡμισείας ὧνπερ
emperor the excessive softening justice the halves of-what
ἔλαβον ἕκαστοι ἀντιστρέψαι πρὸς τὸ βασιλικὸν ταμιεῖον
they-received each to-return to the imperial treasury
ἐκέλευσε. καὶ οὕτως συνέβη κἀκείνοις, εἰ καὶ ἀνάξιοι
ordered and so it-happened also-for-them if even unworthy
πάσης φιλοτιμίας ἐτύγχανον, οὐκ ὀλίγον ἔτι περιλειφθῆναι
of-all generosity they-were not little still to-be-left
τῆς δωρεᾶς, καὶ τῷ βασιλικῷ θησαυροφυλακίῳ τριακόσια
of-the gift and to-the imperial treasury three-hundred
ἐπεισαχθῆναι κεντηνάρια, ἀφ᾽ ὧν ἐν τοῖς ἐπείγουσιν
to-be-brought-in centenaria from which in the pressing-needs
ἤρξατο χορηγεῖν καὶ δεόντως ὁ βασιλεὺς διοικεῖν.
began to-supply and fittingly the emperor to-administer
Κατὰ δὲ τὴν ἡμέραν καθ᾽ ἣν ἐπὶ τὴν αὐτοκράτορα 29
on but the day on which to the sole
ἦλθεν ἀρχὴν ὁ Βασίλειος, ὥσπερ ἐνδεικνυμένου θεοῦ τὴν
came rule — Basil as showing god the
ἐπὶ τὰ κρείττω τῶν Ῥωμαϊκῶν πραγμάτων μεταβολήν,
to the better of-the Roman affairs change
συνέβη πολλῶν ἐπινικίων ἀγγελίαν τὴν βασιλεύουσαν
it-happened of-many victories news the reigning-city

ταύτην καταλαβεῖν καὶ ἀνάρρυσιν πλήθους αἰχμαλώτων
this to-reach and ransoming of-multitude of-captives
Χριστιανῶν ἀγγελθῆναι. πρόοδον οὖν ὁ βασιλεὺς ἐπὶ
Christians to-be-announced procession then the emperor to
τὸν μέγαν τοῦ θεοῦ ναὸν τὸν τῆς ἐκείνου σοφίας
the great — of-god church the(-church) of-the his wisdom
ἐπώνυμον ποιησάμενος, καὶ τὰς περὶ πάντων ὁμοῦ
named having-made and the for all together
εὐχαριστίας αὐτῷ ἀποδούς, ἐν τῷ ὑποστρέφειν ὑπάτευσεν,
thanksgivings to-him having-paid in the returning held-the-consulship
καὶ χρήματα πολλά, οὐκ ἐκ τῶν δημοσίων (οὐδὲ γὰρ
and moneys many not from the public not-even for
ἦν) ἀλλ' ἐκ τῶν οἰκείων, ἃ ἐκέκτητο πρότερον,
there-was but from the own which he-had-acquired before
τοῖς ὑπηκόοις διένειμεν. καὶ ἡ τούτου δὲ σύζυγος
to-the subjects distributed and the his too wife
Εὐδοκία ἡ βασιλὶς ἅμα τοῖς υἱοῖς Κωνσταντίνῳ καὶ
Eudocia the empress together-with the sons Constantine and
Λέοντι ὑπατεύσασα πολλὰ τῇ πολιτείᾳ χρήματα ἀπὸ
Leo having-held-the-consulship many to-the state moneys from
τῶν ἑαυτῆς ἐδωρήσατο. πλὴν εἰ καὶ τότε ἔτι ἐσπάνιζε
the her-own gave but if even then still lacked
χρημάτων ὁ βασιλεύς, ὥσπερ εἴρηται, ἀλλὰ μετὰ ταῦτα
moneys the emperor as has-been-said but after these-things
προσεγένετο καὶ ἑτέρων χρημάτων πλῆθος αὐτῷ ἱκανόν,
accrued also of-other moneys multitude to-him sufficient
τοῦτο μὲν θεοῦ διὰ τὸν πρὸς τοὺς πένητας ἔλεον αὐτοῦ
partly indeed god because-of the toward the poor pity his
καὶ τὴν δικαιοσύνην πολλοὺς τῶν ὑπὸ γῆν θησαυρῶν ἐν
and the justice many of-the under earth treasures in
ταῖς ἡμέραις αὐτοῦ εἰς φῶς εὐδοκήσαντος προελθεῖν, τοῦτο
the days his to light having-deigned to-come-forth partly

δὲ καὶ ἀπὸ τοῦ ἐν τῷ εἰδικῷ εὑρεθέντος χρυσοῦ,
but also from the in the private-treasury having-been-found gold
ὃν ὁ προβεβασιλευκὼς Μιχαὴλ τὰ κάλλιστα τῶν ἔργων
which the having-reigned-before Michael the finest of-the works
συγχωνεύσας, λέγω δὴ τὴν χρυσῆν ἐκείνην καλουμένην
having-melted-down I-mean indeed the golden that called
πλάτανον καὶ τοὺς δύο ὁλοχρύσους γρῦπας καὶ τοὺς δύο
plane-tree and the two all-golden griffins and the two
χρυσοῦς σφυρηλάτους λέοντας καὶ τὸ ὁλόχρυσον ὄργανον
golden hammered lions and the all-golden organ
καὶ ἕτερα τῶν ἐπὶ τῆς τραπέζης χρυσωμάτων ἔργα διάφορα
and other of-the on the table gold-plate works various
καὶ τὰς βασιλικάς τε καὶ αὐγουστιακὰς στολὰς καὶ τὰς
and the imperial both and empress's robes and the
ἄρχουσι μεγάλοις ἁρμοζούσας ἐσθῆτας, πάσας τυγχανούσας
for-rulers great fitting garments all being
χρυσοϋφεῖς· ἃ δὴ πάντα συγχωνεύσας, ὡς λέλεκται,
gold-woven which indeed all having-melted-down as has-been-said
εἰς τὰ καθ' ἡδονὴν αὐτῷ ἔμελλεν ἀποχρήσασθαι·
for the(-things) for pleasure to-him he-was-going to-use
προαναρπασθέντος δὲ ἐκείνου εὑρέθη ὁ χρυσός, καὶ
having-been-snatched-away but he was-found the gold and
χαραχθεὶς εἰς ἅπαντα γέγονε χρήσιμος τῷ βασιλεῖ.
having-been-minted for all-things became useful to-the emperor
δεῖ γάρ, φησί, χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν
there-is-need for he-says of-moneys and without these nothing
ἔστι γενέσθαι τῶν δεόντων. ἀλλὰ τοῦτο μὲν ὕστερον.
it-is-possible to-happen of-the needful-things but this indeed later
Τότε δέ, ἐπείπερ ἐπὶ τῶν τῆς ἀρχῆς οἰάκων ὑπὸ τῆς
then but since on the of-the rule tillers by the
προνοίας προβιβασθεὶς ἐκάθισεν ὁ Βασίλειος, εὐθὺς ἀπὸ
providence having-been-advanced sat — Basil straightway from

γραμμῆς, φασίν, ἄξιος ἐσπούδαζε φανῆναι τοῦ μεγέθους
line they-say worthy he-was-eager to-appear of-the greatness
τοῦ πράγματος, καὶ νύκτωρ διηγρύπνει καὶ μεθ' ἡμέραν
of-the thing and by-night he-lay-awake and by day
διεσκόπει, πάντα κινῶν λογισμὸν καὶ πᾶν στρέφων
he-considered every moving reasoning and every turning
βούλευμα, ὅπως ἀγαθοῦ τινὸς αἴτιος τοῖς ὑπ' αὐτὸν
plan how of-good some cause to-the(-ones) under him
ἅπασι γένοιτο καὶ ὅπως ἐπὶ τὸ ἄμεινον ἐμφανῆ καὶ
all he-may-become and how to the better evident and
μεγάλην μεταβολὴν τὰ πράγματα δέξηται. καὶ πρῶτα
great change the affairs may-receive and first
μὲν ἐπὶ τὰς ἀρχὰς ἀδωρότατα τοὺς πάντων ἀρίστους
indeed to the offices most-incorruptibly the of-all best
ἐκλεγόμενος προεβάλλετο, οἷς ἦν καὶ οἴκοθεν, ἅτε
choosing he-put-forward for-whom it-was both from-home as
ἀρίστοις οὖσι, καὶ ἀπὸ τῆς ἀκριβοῦς τοῦ βασιλεύοντος
best being and from the exact of-the reigning(-one)
ἐπισκέψεως πρῶτον ἔργον καὶ σπούδασμα τὸ πρὸ
oversight first work and effort the before
τῶν ἄλλων τὰς ἰδίας χεῖρας καθαρὰς ἀπὸ παντοίου
the others the own hands pure from every-kind-of
διαφυλάξαι λήμματος, εἶθ' οὕτως πασῶν τῶν ἀρετῶν
to-keep gain then so of-all the virtues
πλέον τιμῆσαι δικαιοσύνην, καὶ ἰσότητα παρασκευάσαι
more to-honor justice and equality to-prepare
ἐμπολιτεύεσθαι πανταχοῦ, καὶ τὸ μὴ καταδυναστεύεσθαι
to-be-at-home everywhere and the not to-be-oppressed
ὑπὸ τῶν πλουτούντων τοὺς πένητας, μηδὲ ἀδίκως ζημίᾳ
by the rich the poor nor unjustly to-penalty
τινὰ ὑποβάλλεσθαι, ἀλλὰ ῥύεσθαι πένητα καὶ πτωχὸν ἐκ
anyone to-be-subjected but to-rescue poor and beggar from

χειρὸς στερεωτέρων αὐτοῦ, καὶ κατὰ μικρὸν ἀναλαβεῖν
hand of-stronger than-him and by little to-take-up
τοὺς ἀνθρώπους οὕσπερ ἀπὸ τῶν φθασάντων ἤδει
the men whom from the previous(-reigns) he-knew
λειποψυχοῦντάς τε καὶ ἐκλείποντας, καὶ ἀναρρωννύντας ἐπὶ
fainting both and failing and strengthening to
τῆς ἀρχαίας ἅπαντας εὐετηρίας σπουδάζειν ἀποκαθιστᾶν.
the ancient all prosperity to-be-zealous to-restore
ὧν καὶ διὰ τὴν ἐξ ἀρχῆς πρὸς τὰ βελτίω ῥοπὴν
of-whom both because-of the from beginning toward the better inclination
(τοιοῦτοι γὰρ πάντως οἱ ἐκλεγόμενοι) καὶ διὰ τὴν
such for surely the(-men) being-chosen and because-of the
τοῦ κρατοῦντος περὶ ταῦτα σπουδὴν καὶ ἐγρηγορυῖαν
of-the ruler about these-things zeal and wakeful
πανταχόσε περίβλεψιν εἰς πᾶν τὸ δέον προθύμως ἀλλήλους
everywhere looking-round into all the needful eagerly one-another
ὑπερβαλέσθαι ἁμιλλωμένων, ἅπασα μὲν ἀδικία εὐθὺς
to-surpass competing all indeed injustice straightway
ἀπὸ πάντων ἠλαύνετο, καὶ τὸ δίκαιον ἐπαρρησιάζετο, καὶ
from all was-driven and the just spoke-freely and
αἱ πρὶν ὑπὲρ τὰς Βριάρεω χεῖρες πρὸς τὰ ἀλλότρια
the formerly beyond the of-Briareus hands to the(-things) another's
ἐκτεινόμεναι ἐκνεναρκωμέναις ὥσπερ καὶ παρειμέναις
being-stretched-out to-numbed as-it-were and paralyzed
ἐῴκεισαν καὶ τὰ ἀσθενῆ πρὸ τούτου τῶν πενήτων μέλη
were-like and the weak before this of-the poor limbs
ἐρρώννυντο διὰ τὸ ἀδεῶς ἕκαστον τὴν οἰκείαν βῶλον
were-strengthened because-of the fearlessly each the own clod
ἐργάζεσθαι καὶ τὸν ἴδιον ἀμπελῶνα καρποῦσθαι, καὶ τὴν
to-work and the own vineyard to-enjoy and the
ἐλαίαν καὶ τὴν συκῆν τὴν πατρῴαν μηδένα εἶναι τὸν
olive and the fig-tree the paternal no-one to-be the(-one)

τολμῶντα ὑπὸ τὴν ἑαυτοῦ ποιεῖσθαι ἐξουσίαν, ἀλλ' ἕκαστον
daring under the his-own to-make authority but each
ἐν τῇ συνήθει καὶ πατρῴᾳ τούτων σκιᾷ ἀναπαύεσθαι. καὶ
in the customary and paternal of-these shade to-rest and
οὕτω μὲν περὶ τὸν ὑπὸ χεῖρα πάντα λαὸν τῶν τε χωρῶν
so indeed about the under hand all people of-the both lands
καὶ τόπων καὶ πόλεων τῆς ἑαυτοῦ ἐπικρατείας ὁ εὐσεβὴς
and places and cities of-the his-own dominion the pious
διεγίνετο βασιλεύς. εἰ δέ τις οἷον ὄζος κακίας ἔν
conducted-himself emperor if but any as-it-were knot of-vice in
τινι στερεῶς εὖ μάλα συναθροισθεὶς ὑπὸ τῶν κατὰ μέρος
some firmly well very having-been-gathered by the in part
ἀρχόντων μεταβληθῆναι ἢ τέλεον ἐκκοπῆναι οὐχ οἷός τε
rulers to-be-changed or wholly to-be-cut-out not able —
ἦν, δι' αὐτοῦ ἐκείνου τοῦ βασιλεύοντος ἢ μετεβάλλετο
was through very that-one the reigning(-one) either was-changed
ἢ ἀλλοίως πως τὴν ἰατρείαν ἐδέχετο. τέλεον γὰρ ἐξᾶραι
or otherwise somehow the cure received wholly for to-remove
πάντοθεν τὴν ἀδικίαν ὁ κράτιστος οὗτος φιλονεικῶν
from-everywhere the injustice the strongest this-one striving
πανταχοῦ τε διατάγματα ἐξέθετο καὶ κατὰ πᾶσαν χώραν
everywhere both edicts set-forth and to every land
ἐξέπεμψεν, δι' ὧν πᾶσα δόσις μέχρι τότε τὸ εὔλογον
sent-out through which every gift until then the reasonable
ἔχειν δοκοῦσα διὰ τὴν πονηρὰν ἀπὸ χρόνου συνήθειαν
to-have seeming because-of the wicked from time custom
ἀνῃρεῖτο καὶ ἐξεκόπτετο, καὶ ἰσονομία πᾶσα καὶ
was-abolished and was-cut-out and equality-before-the-law all and
δικαιοσύνη ὥσπερ ἀπό τινος ὑπερορίου φυγῆς ἐδόκει
justice as from some foreign exile seemed
κατιέναι πρὸς τὸν βίον καὶ τοῖς ἀνθρώποις ἐμπολιτεύεσθαι.
to-come-back to the life and to-the men to-be-at-home

Ἀλλὰ καὶ τοὺς εἰς τὸ κρίνειν ἐπιτηδείους, ἀπὸ μὲν 31
but also the for the to-judge fit from indeed
μαθημάτων ἔχειν τὸ ἱκανὸν μαρτυρουμένους, ἀπὸ δὲ
learning to-have the sufficient being-attested from but
γνώμης καὶ προαιρέσεως τὸ εὐσεβές τε καὶ ἀδωρόληπτον,
mind and purpose the pious both and unbribable
ἀξιώμασί τε τῆς ταπεινοτέρας βαθμίδος ὑπεραίρων καὶ
with-dignities both from-the humbler step raising and
ἀνυψῶν καὶ ῥογῶν ἐνιαυσίων ἐκθέσεσι καὶ σιτηρεσίων
exalting and of-stipends annual with-grants and of-allowances
ἄλλων καὶ φιλοτιμιῶν παροχαῖς δεξιούμενος κατὰ πᾶσαν
other and liberalities with-provisions welcoming in every
σχεδὸν ἀγυιὰν καὶ πᾶν εὐαγὲς ἐνδιαίτημα ἐγκατέστησεν.
almost street and every holy residence he-installed
ἐξαιρέτως δὲ τὸ λεγόμενον τῆς Χαλκῆς λαμπρότατον τὸ
especially but the so-called of-the Chalke most-splendid the
πάλαι καὶ ἀξιάγαστον οἴκημα, τῷ χρόνῳ καὶ τῇ τῶν
of-old and admirable building by-the time and by-the of-the
κρατούντων ῥᾳθυμίᾳ, ἴσως δὲ καὶ ἀπό τινων ἐμπρησμῶν,
rulers indolence perhaps but also from some fires
κατὰ μέρη πολλὰ διαρρυὲν καὶ τὴν ὀροφὴν πονήσασαν
in parts many having-fallen-apart and the roof having-suffered
ἐσχηκός, αὐτὸς καὶ πόνῳ καὶ δαπάναις συχναῖς ἀπεκάθηρέ
having-had he-himself both by-toil and expenses frequent cleaned
τε καὶ περιεποιήσατο καὶ κοινὸν κατέστησε δικαστήριον,
both and restored and common made court
Ἀρείου τε πάγου καὶ Ἡλιαίας σεμνότερον. οὐ μόνον δὲ
than-Ares' both hill and Heliaea more-august not only and
διὰ τῆς τῶν κριτῶν ἐκλογῆς τε καὶ προβολῆς τοὺς
through the of-the judges choice both and appointment the(-ones)
ἀδικεῖσθαι λέγοντας τῶν δικαίων τυγχάνειν προενοήσατο,
to-be-wronged saying of-the just-things to-obtain he-provided

ἀλλὰ καὶ διὰ τῆς παροχῆς τῆς καθ' ἡμέραν τροφῆς
but also through the provision of-the by day food
τῶν ἐπὶ τῇ παρὰ τῶν ἰσχυροτέρων βίᾳ ἑκάστοτε πρὸς
of-the(-men) for the from the stronger violence each-time to
τὴν βασιλεύουσαν ἀναγκαζομένων εἰσέρχεσθαι. δείσας
the reigning-city compelled to-come-in having-feared
γὰρ μὴ ἀπορίᾳ τῶν ἐπιτηδείων πολλάκις τινὲς πρὸ τοῦ
for lest from-lack of-the necessities often some before the
πέρας τὴν κατ' αὐτοὺς ὑπόθεσιν δέξασθαι τῶν τῆδε
end the about them case to-receive from-the(-things) here
ἀναχωρήσωσι, πρόσοδον ἀρκοῦσαν ἀφώρισεν ἀφ' ἧς οἱ
may-depart revenue sufficient he-assigned from which the(-ones)
ἐγκαλοῦντες κατά τινων ἀπετρέφοντο, ἕως τὴν ἀπὸ τοῦ
bringing-charges against some were-maintained until the from the
δικαστοῦ ἀπόφασιν ἔλαβον. οὐ ταῦτα δὲ μόνα πρὸς τὴν
judge sentence they-received not these-things and only for the
παντελῆ τῆς ἀδικίας ἐπενοήσατο ἐξολόθρευσιν, ἀλλὰ καὶ
complete of-the injustice he-devised extermination but also
ἑαυτὸν εἰς τὸ τοιοῦτον μέρος ἐπέδωκε· καὶ ὅταν ἔτυχε
himself to the such part gave and when he-happened
τῶν στρατειῶν σχολάζων καὶ τοῦ χρηματίζειν ταῖς
from-the campaigns being-at-leisure and from-the to-transact with-the
ἀπανταχόθεν πρεσβείαις, αὐτὸς τῶν βασιλείων ὑποκατιὼν
from-everywhere embassies he-himself from-the palace going-down
καὶ εἰς τὸ διὰ τοὺς πανταχόθεν εἰς αὐτὸ συντρέχοντας,
and in the because-of the(-men) from-everywhere to it running-together
ὡς ἔοικεν, λεγόμενον Γενικὸν καθεζόμενος τοὺς ὑπὸ
as it-seems so-called Genikon sitting the(-men) by
τῶν εἰσπραττόντων τοὺς δημοσίους φόρους πολλάκις, οἷα
the(-men) exacting the public taxes often as
συμβαίνει, διὰ τὸ μέγεθος τῆς ἀρχῆς ἀδικουμένους καὶ
happens because-of the greatness of-the office being-wronged and

ὥσπερ εἰς κοινὸν πρυτανεῖον εἰς τὸ τοιοῦτον διαιτητήριον
as to common town-hall to the such court
καταφεύγοντας καὶ τὰς οἰκείας ἐγκλήσεις προβαλλομένους
fleeing and the own charges putting-forward
μετὰ πόνου πολλοῦ καὶ συχνῆς ἐπιμελείας ἐξήταζεν, καὶ
with toil much and frequent care he-examined and
οὕτω τοῖς ἀδικουμένοις ἐπήμυνεν καὶ τοὺς ἀδικοῦντας
so the wronged he-defended and the wrongdoers
ἔπαυε διὰ τῆς νομίμου τιμωρίας τοῦ μηκέτι τολμᾶν τὰ
he-stopped through the lawful punishment from-the no-longer to-dare the
τοιαῦτα ποιεῖν. χρόνοις δὲ ὕστερον λέγεταί ποτε κατελθεῖν
such-things to-do in-times but later it-is-said once to-have-gone-down
εἰς τὴν τοιαύτην διατριβὴν πρὸς τὴν τῶν ἀδικουμένων
to the such court for the of-the wronged
ἐκδίκησιν· ὡς δ' ἔτυχεν οὐδεὶς ἐγκαλῶν, ὑποτοπήσας
vengeance when but there-happened no-one charging having-suspected
ὑπό τινων τῆς πρὸς αὐτὸν εἰσόδου ἀνείργεσθαι, τοὺς περὶ
by some from-the to him entrance to-be-barred the about
αὐτὸν δορυφόρους ἀπέστειλε ζητοῦντας κατὰ πολλὰ μέρη
him guards he-sent seeking in many parts
τῆς πόλεως εἴ τις ἔστι κατά τινος ποιούμενος ἔγκλησιν·
of-the city if anyone is against someone making charge
ὡς δ' ἐπανῆλθον οὗτοι μηδένα μηδαμοῦ εὑρηκέναι λέγοντες
when but returned these no-one anywhere to-have-found saying
ἐγκαλοῦντα κατά τινος, δακρῦσαί φασι τὸν γενναῖον
charging against anyone to-weep they-say the noble
ἐκεῖνον ὑφ' ἡδονῆς, καὶ οὕτω τὴν εὐχαριστίαν ἀποδοῦναι
that-one from joy and so the thanksgiving to-pay
θεῷ. ὁρῶν δὲ ὅτι ἔστι τις τοῖς πονηροῖς εἰς τὸ ἀδικεῖν
to-god seeing but that there-is some for-the wicked for the to-wrong
ἀφορμὴ ἀπὸ τοῦ διὰ τὸ σύντομον τοῖς τῶν ἀριθμῶν
occasion from the for the brevity the of-the numbers

μορίοις καὶ μέρεσι τοῦ ἡμίσεως καὶ ἕκτου καὶ δωδεκάτου
fractions and parts of-the half and sixth and twelfth
τυχὸν κεχρῆσθαι τοῖς παλαιοῖς ἐν ταῖς ἀναγραφαῖς τῆς
perhaps to-have-used the ancients in the registers of-the
τῶν φόρων εἰσπράξεως, ἠθέλησε καὶ τὴν τοιαύτην τῶν
of-the taxes collection he-wished also the such of-the(-ones)
ἀδικεῖν βουλομένων περιελεῖν ἀφορμήν, καὶ διωρίσατο καὶ
to-wrong wishing to-remove occasion and decreed both
γράμμασι λιτοῖς, ἃ καὶ τοῖς ἀγροίκοις ἀναγινώσκειν ἐστὶν
in-letters plain which also for-the rustics to-read is
ἐν δυνατῷ, καὶ ὁλογράφοις καὶ φαναιραῖς ταῖς ψήφοις τῆς
in possible and written-out-in-full and clear the numerals of-the
δηλουμένης ποσότητος τοὺς τῶν ἀπαιτήσεων γράφεσθαι
indicated quantity the of-the demands to-be-written
κώδικας, οἴκοθεν τὸ εἰς τοῦτο τάξας ἀνάλωμα καὶ
codices from-home the for this having-assigned expense both
τῶν χαρτίων καὶ τῆς γραφῆς καὶ τῶν γραφέων, πρὸς τὸ
of-the papers and of-the writing and of-the scribes for the
μὴ ἀδικεῖσθαι τοὺς πένητας. καὶ τοῦτο μὲν τοιοῦτον καὶ
not to-be-wronged the poor and this indeed such and
τοσοῦτον τῆς περὶ τὸ ὑπήκοον κηδεμονίας αὐτοῦ καθέστηκε
so-great of-the about the subjects care his became
γνώρισμα, καὶ ὅτι ὑπ᾽ οὐδενὸς οὐδένα ἀδικεῖσθαι ἐβούλετο.
mark and that by no-one anyone to-be-wronged he-wished
καὶ τοιοῦτος μὲν ἦν περὶ τὰ πολιτικὰ καὶ δημόσια.
and such indeed he-was about the civil and public-things

32 Μὴ βουλόμενος δὲ μηδὲ τῶν ἐκκλησιῶν τοῦ θεοῦ δοκεῖν
not wishing but even the churches — of-god to-seem
ἀμελεῖν (πάντως γὰρ ὡς ἐν τῷ κοσμικῷ περιεχόμεναι
to-neglect surely for as in the worldly contained
σκάφει, ὑπὸ τὴν πρόνοιαν τοῦ κρατοῦντος καὶ αὗται
vessel under the providence of-the ruler also these

τυγχάνουσιν, ἐκείνου δὲ καὶ μᾶλλον ἅτε θεοφιλοῦς καὶ
happen of-that-one but also rather as god-loving and
πολλὴν περὶ τὰ θεῖα κεκτημένου εὐλάβειαν), ἐπεὶ
much about the divine-things having piety since
γοῦν καὶ ταύτας οἷον εἶναι ἐν σάλῳ τινὶ καὶ
at-any-rate also these as-it-were to-be in tossing some and
ταράχῳ τυγχανούσας ἑώρα διὰ τὸ τῆς κοινῆς λύμης
turmoil being he-saw because-of the of-the common ruin
ὑπὸ τοῦ προάρξαντος καὶ ταύτας μεταλαχεῖν καὶ
by the(-one) having-ruled-before also these to-have-had-a-share and
ἐξωσθῆναι μὲν τῆς οἰκείας καθέδρας καὶ ποίμνης
to-have-been-thrust indeed from-the own see and flock
τὸν ἐννόμως τούτων κατάρχοντα, ἀντεισαχθῆναι
the(-one) lawfully them ruling to-have-been-brought-in-instead
δὲ ἕτερον, οὐδὲ τούτων ἠμέλησεν, ἀλλὰ διὰ κοινῆς
but another not-even these he-neglected but through common
συνόδου καὶ συνελεύσεως τῶν ἁπανταχόθεν ἀρχιερέων θεοῦ
synod and assembly of-the from-everywhere high-priests of-god
ταῖς ἐκκλησίαις τὸν σάλον κατὰ τὸ ἐνδεχόμενον ἔστησεν,
for-the churches the tossing as-far-as the possible he-stopped
τήν τε πρὸ τούτου ἑβδόμην ἁγίαν σύνοδον ἐπικυρώσας,
the both before this seventh holy synod having-confirmed
καὶ τοὺς περιλιπεῖς τῶν εἰκονομάχων αἱρετικῶν τῷ
and the remaining of-the iconoclast heretics to-the
ἀναθέματι δούς, καὶ τὸν γνήσιον νυμφίον τῇ ἐκκλησίᾳ
anathema having-given and the genuine bridegroom to-the church
καὶ τοῖς τέκνοις τὸν πατέρα κανονικῶς παρασχών, τὸν
and to-the children the father canonically having-provided the(-one)
δὲ ἀντεισαχθέντα σχολάζειν κελεύσας ἕως τοῦτον πρὸς
but brought-in-instead to-be-at-leisure having-ordered until him to
ἑαυτὸν μεταστήσει ὁ κύριος. καὶ οὕτω μὲν εὖ καὶ καλῶς
himself will-remove the lord and so indeed well and finely

τὰ κατὰ τὴν ἐκκλησίαν διέθετο, καὶ τὴν ἐνδεχομένην
the(-things) in the church he-arranged and the possible
καὶ ταύτῃ γαλήνην τῇ οἰκείᾳ σπουδῇ καὶ προμηθείᾳ
also for-it calm by-the own zeal and forethought
παρέσχετο.
provided

33 Εὑρὼν δὲ καὶ τοὺς πολιτικοὺς νόμους πολλὴν
having-found but also the civil laws much
ἀσάφειαν καὶ σύγχυσιν ἔχοντας διὰ τὴν ἀγαθῶν
obscurity and confusion having because-of the of-good
ὥσπερ καὶ πονηρῶν συναναστροφήν, λέγω δὴ τὴν
as-it-were and of-wicked mixing-together I-mean indeed the
τῶν ἀνῃρημένων καὶ πολιτευομένων ἀδιάκριτον καὶ
of-the(-laws) abolished and in-force indiscriminate and
κοινὴν ἀναγραφήν, καὶ τούτους κατὰ τὸ προσῆκον
common registration also these according-to the fitting
καὶ ἐνδεχόμενον προσφόρως ἐπηνωρθώσατο, τὴν τῶν
and possible suitably he-corrected the of-the
ἀνῃρημένων ἀχρηστίαν περιελών, καὶ τῶν κυρίων
abolished uselessness having-removed and of-the valid
ἀνακαθάρας τὸ πλῆθος, καὶ ὥσπερ ἐν συνόψει, ἐν
having-purged the multitude and as in synopsis in
κεφαλαίοις διὰ τὸ εὐμνημόνευτον τὴν προτέρων ἀπειρίαν
heads for the easy-to-remember the of-former(-laws) endlessness
περιλαβών.
having-comprehended

Symbatius and George conspire and are punished by blinding alone; Basil crowns Constantine and Leo, gives Stephen to the Church, and dedicates his daughters at St. Euphemia. He refills and trains the army, holding that war cannot be won untaught. He ravages Chrysocheir's lands but cannot take Tephrike; Taranta asks for peace, and Kourtikios surrenders Lokana. His raiders take Zapetra and sack Samosata; he bridges the Euphrates, carrying beams himself, routs the Melitenians but leaves Melitene untaken, and returns in triumph. He prays to see Chrysocheir dead with three arrows in his head; at the Bathyrrhyax two themes' rivalry becomes a dawn attack that drives the Paulicians thirty miles.

Ἀλλ᾽ ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ παραφύεται φθόνος ὡς τοῖς 34
but since on-the goods always grows-beside envy as on-the
γλυκέσι μάλιστα τῶν ξύλων οἱ σκώληκες, καὶ τῇ κοσμικῇ
sweet most of-the woods the worms and the worldly
εὐετηρίᾳ καὶ εὐθηνίᾳ βασκαίνοντα τὰ φαῦλα δαιμόνια διὰ
prosperity and plenty envying the wicked spirits through
πονηρῶν ἀνθρώπων πειρᾶται τὴν τῶν ἀγαθῶν συνταράξαι
wicked men try the of-the goods to-confound
φοράν, ἐκ τούτων καὶ τούτῳ συσκευὴν ἐπιβουλῆς,
course from these also against-this-one plot of-conspiracy
μετὰ καὶ πρὸς φόνον ὁπλίζεται Συμβάτιος καὶ Γεώργιος
with also for murder arms-himself Symbatius and George
μετὰ στίφους ἀποφράδων ἀνθρώπων καὶ δυσσεβῶν. οὐ
with band of-accursed men and impious not
συγχωροῦντος δὲ πάντως, οὐδ᾽ ἀνεχομένου θεοῦ τὴν κακίαν
allowing but at-all nor enduring god the evil
δι᾽ ἐλαχίστου αὖθις ἀναπαλαῖσαι τὴν οἰκείαν ἧτταν καὶ
through least again to-wrestle-back the own defeat and
ἀπελάσαι τὴν εὐνομίαν καὶ δικαιοσύνην ἀπὸ τῆς γῆς,
to-drive-away the good-order and justice from the earth

κατάδηλος ἡ τούτων πονηρία καθίσταται ἀφ' ἑνὸς τῶν
evident the of-these wickedness becomes from one of-the
συνωμοτῶν. ἀκολουθησάντων δὲ τῶν ἐλέγχων ἐπήρτητο μὲν
conspirators having-followed but the proofs hung indeed
ἀπὸ τῶν νόμων αὐτοῖς ἡ ἐσχάτη τιμωρία, τουτέστι, μετὰ
from the laws over-them the extreme penalty that-is with
καὶ δήμευσιν καὶ τῶν ὄντων ἁπάντων ἔκπτωσιν, καὶ ἡ τῆς
both confiscation and of-the possessions all loss and the of-the
ζωῆς αὐτῆς ἀλλοτρίωσις. ἀλλ' ἡ τοῦ γενναίου βασιλέως
life itself estrangement but the of-the noble emperor
φιλανθρωπία μόνῃ τῶν ὀφθαλμῶν ἐκκοπῇ τὴν τιμωρίαν
humanity with-only of-the eyes gouging the penalty
ὡρίσατο τέως τῶν προκατάρξαντων τῆς πονηρᾶς
defined meanwhile of-the(-ones) having-led of-the wicked
συμβουλῆς· καὶ πλέον δ' ἂν τὴν εἴσπραξιν ἐμετρίασεν,
counsel and more too — the exaction he-would-have-moderated
εἰ μὴ τὴν εἰς τούτους ἄκραν φιλανθρωπίαν ἐγίνωσκε
if not the toward these extreme humanity he-knew
καὶ ἄλλους προτρέψεσθαι πρὸς τὴν μίμησιν καὶ τότε εἰς
also others going-to-urge to the imitation and then into
ἀνάγκην ὑπαχθῆναι αὐτὸν καὶ βαρυτέρας ἀνταποδόσεως.
necessity to-be-brought him also of-heavier retribution
διὰ τοῦτο τῇ λεχθείσῃ ποινῇ τούτοις τε μετανοίας
because-of this by-the said punishment to-these both of-repentance
παρέσχε καιρὸν καὶ τοὺς λοιποὺς τῶν πονηρῶν ἐσωφρόνιζε.
he-gave time and the rest of-the wicked chastened
βουλόμενος δ' ἐπὶ μᾶλλον ἀναστεῖλαι τὰς ὁρμὰς τῶν
wishing but to more to-check the impulses of-the(-ones)
ἀδίκως ζητούντων ἀλλότριον θάνατον καὶ πᾶσαν αὐτῶν
unjustly seeking another's death and all their
ἐλπίδα περιελεῖν, ἀνάγει πρὸς τὸ τῆς βασιλείας ἀξίωμα
hope to-remove brings-up to the of-the empire dignity

τοὺς τῶν παίδων καθ' ἡλικίαν προέχοντας, ἤδη βασιλικῶς
the of-the sons in age excelling already royally
ἀναγομένους καὶ παιδευομένους καὶ εἰς πᾶσαν ἐκλάμποντας
brought-up and educated and in all shining
any of-the your commandments that also in this we-may-give-thanks
τῇ σῇ ἀγαθότητι." ἡ δὲ τῶν παίδων αὖθις ταῦτα
to-the your goodness the(-one) but of-the children again these-things
διαγορεύουσα δείκνυται "εὐχαριστοῦμέν σοι, λόγε τοῦ
declaring is-shown we-thank you word —
θεοῦ, ὅτι ἐκ πτωχείας Δαυϊτικῆς ἀνύψωσας τὸν πατέρα
of-god that from poverty Davidic you-exalted the father
ἡμῶν, καὶ ἔχρισας αὐτὸν τῷ χρίσματι τοῦ ἁγίου σου
our and you-anointed him with-the anointing of-the holy your

πνεύματος. ἀλλὰ φύλαξον αὐτὸν τῇ χειρί σου σὺν
spirit but guard him with-the hand your with
τῇ τεκούσῃ ἡμᾶς, ἀξιῶν αὐτοὺς καὶ ἡμᾶς καὶ τῆς
the(-one) having-borne us deeming-worthy them and us also of-the
ἐπουρανίου σου βασιλείας." καὶ τὰ μὲν τοῦ εἰρημένου
heavenly your kingdom and the indeed of-the said
κοιτῶνος ἔργα καὶ κάλλη ἐν τούτοις περιγεγράφθω.
bedchamber works and beauties in these let-them-be-circumscribed
Τῆς αὐτῆς δὲ χειρὸς καὶ γνώμης ἔργον καὶ ὁ κατὰ 90
of-the same but hand and mind work also the by
τοὺς Μαρκιανοῦ περιδρόμους μέγιστος τρίκλινος, καὶ
the of-Marcian walks very-great triclinium also
Πεντακούβουκλον λεγόμενον, ὃ καὶ αὐτὸ παντοίου
Pentakoubouklon called which also itself of-every-kind
κάλλους καὶ ὡραιότητος τὰ πρωτεῖα ἠνέγκατο· καθ'
beauty and loveliness the first-prizes carried-off at
ὃ καὶ τὸ προμνημονευθὲν περικαλλὲς εὐκτήριον τοῦ
which also the aforementioned very-beautiful oratory of-the
αἰθεροδρόμου Παύλου, ᾧ καὶ τὸ τῆς μάρτυρος
air-traversing Paul to-which also the(-oratory) of-the martyr
Βαρβάρας συνήνωται τὸ ὑπὸ τοῦ σοφωτάτου Λέοντος
Barbara has-been-united the(-one) by the most-wise Leo
δομηθέν, τὴν ἵδρυσιν κέκτηται. ἀλλὰ καὶ τὰ ἕτερα
built the site has but also the other
βασιλικὰ καταγώγια, ἃ τοῦ χρυσοῦ τῶν τρικλίνων
imperial lodgings which than-the golden of-the triclinia
ἀνατολικωτέραν καὶ μᾶλλον ὑπερκειμένην ἔχει τὴν ἵδρυσιν,
more-eastern and more lying-above have the site
δυτικώτερα τῆς νέας τυγχάνοντα τῶν ἐκκλησιῶν, ὧν
more-western than-the new being of-the churches of-which
ἡ ἐπὶ πολὺ τοῦ ἀέρος πρὸς ὕψος ἐπέκτασις καὶ τὴν
the for much of-the air to height extension also the

Ἀετοῦ προσηγορίαν ἐδέξατο, ἐν ᾧ καὶ τὸ τῆς θεοτόκου
of-Eagle name received in which also the of-the god-bearer
ὡραῖον καὶ πάντερπνον τῆς προσευχῆς ἐστὶν ἱερόν, τοῦ
beautiful and all-delightful of-the prayer is shrine of-the
αὐτοῦ βασιλέως ἔργα τυγχάνουσιν, ἐκ τοῦ πολυτελοῦς
same emperor works are from the costliness
καὶ ἀφθόνου τῶν τιμωμένων ὑλῶν καὶ τοῦ καινοπρεποῦς
and abundance of-the precious materials and the novelty
τῶν σχημάτων καὶ τῆς μεγαλουργοῦ διαθέσεως τὸ
of-the forms and the magnificent arrangement the
μεγαλόψυχον καὶ φιλόκαλον τοῦ ἀνδρὸς ἀπεμφαίνοντα. καὶ
magnanimity and love-of-beauty of-the man showing and
τὰ δυτικώτερα δὲ τούτων πυραμοειδῆ κατοικητήρια, καθὼς
the more-western too than-these pyramidal dwellings as
καὶ ἕτερον τῆς τοῦ θεοῦ καὶ λόγου μητρὸς τυγχάνει
also another of-the — of-god and word mother is
εὐκτήριον, ἐκεῖνον χορηγὸν καὶ δημιουργὸν ἐπιγράφεται,
oratory him supplier and craftsman inscribes
τῷ περιττῷ τῆς κατασκευῆς καὶ καινοπρεπεῖ καθ' ἑτέρων
by-the abundance of-the construction and novelty over others
πολλῶν τὸ πρωτεῖον φερόμενα. ὧν ἐστὶ κάτωθεν,
many the primacy carrying-off of-which is below
κατ' αὐτὴν τὴν τῆς Μονοθύρου λεγομένης εἴσοδον, τὸ
at very the of-the Monothyros called entrance the
τερπνότατον Ἰωάννου τοῦ θεολόγου εὐκτήριον, ὃ καὶ αὐτὸ
most-delightful of-John the theologian oratory which also itself
μετὰ τοῦ ἐκεῖθεν ἀρχομένου αἰθερίου καὶ ἡλιοβολουμένου
with the from-there beginning airy and sun-struck
μαρμαροστρώτου περιπάτου, τοῦ καὶ ἄχρι τοῦ Φάρου
marble-paved walk the(-one) also as-far-as the Pharos
διήκοντος, ὁ αὐτὸς ἐτεκτήνατο βασιλεύς, μετὰ καὶ τῶν
reaching the same built emperor with also the

πρὸς ἀνατολὰς τούτου ἑδραιοτάτων οἰκημάτων, ὧν
toward east of-it most-solid buildings of-which
τὸ μὲν θησαυροφυλακεῖον ἐστί, τὸ δὲ χρηματίζει
the(-one) indeed treasury is the(-other) but serves
εἰς βεστιάριον· ἃ μετὰ τοῦ τέρποντος καὶ τὸ
as wardrobe which-things with the delighting also the
ἀσφαλὲς περιττῶς ἐκληρώσαντο. καὶ τὸ κάλλιστον δὲ
safety abundantly have-obtained and the finest too
καὶ μέγιστον καὶ φανότατον τῶν βασιλείων λουτρόν, ὃ
and greatest and brightest of-the palace bath which
τῆς φιάλης λεγομένης ὑπέρκειται, ἥτις ἀπὸ τῆς ἐκεῖσε
the fountain called lies-above which from the there
πρότερον ἱσταμένης τοῦ τῶν βενέτων μέρους λιθίνης
formerly standing of-the of-the Blues faction stone
φιάλης τὸ ὄνομα σώζει περιλειπόμενον, ἐκεῖνός ἐστιν ὁ
fountain the name keeps remaining he is the(-one)
ἐμμελῶς δομησάμενος, ἔργον κάλλους ὁμοῦ καὶ τρυφῆς
harmoniously having-built work of-beauty together and of-luxury
καὶ σωματικῆς εὐετηρίας καὶ ἀναπαύσεως. ἡ δὲ τοῦ
and of-bodily well-being and rest the but of-the
ἑτέρου μέρους φιάλη, τῶν πρασίνων φημί, κατὰ τὴν πρὸς
other faction fountain of-the Greens I-mean at the toward
ἀνατολὰς τῶν βασιλείων αὐλὴν τὴν στάσιν ἐκέκτητο· ἥτις
east of-the palace court the position had which
ἐν τῷ κτίζεσθαι τὸν ἐκεῖσε θεῖον ναὸν τῆς μεταθέσεως
in the to-be-built the there divine church the removal
ἔτυχε, καὶ ἠλλοιώθη τῶν μερῶν ἡ περὶ ταύτας διατριβή,
obtained and was-altered of-the factions the about them pastime
καὶ ἀπεπαύθη τὰ τελούμενα κατ᾽ αὐτάς.
and were-stopped the(-things) performed at them

Basil funds the Mangana and the New House from farms so his feasts spend no public money, builds at Pegai and Hiereia, restores a cistern, raises some hundred churches about the city and more beyond, and renews poorhouses, hostels, and hospitals. He brings Jews to baptism, gives the Bulgarians an archbishop, and converts the Rus when a gospel book survives the fire. He bears Constantine's death as Job did and refuses to send tax inspectors to the themes. Sandabarenos tricks Leo into carrying a dagger and denounces him; Leo is imprisoned until a parrot's cry moves the senators. Basil sickens after a hunting accident and dies; Leo succeeds.

91 Ἐκτὸς δὲ τῶν εἰρημένων τοῦ αὐτοῦ γενναίου βασιλέως
besides but the(-things) said of-the same noble emperor
ἔργον καὶ ὁ τὰ Μάγγανα λεγόμενος οἶκος βασιλικός, καὶ
work also the the Mangana called house imperial and
ὁ νέος οἶκος καλούμενος, οὗς ἀπὸ τοιαύτης προαιρέσεως
the new house called which from such purpose
κατεσκεύασεν. μὴ βουλόμενος γὰρ τὰ δημόσια χρήματα,
he-built not wishing for the public moneys
ἅπερ οἱ ἐκ τοῦ ὑπηκόου φόροι γεννῶντες αὐξάνουσιν,
which the from the subjects taxes producing increase
εἰς οἰκείας καταναλίσκειν χρείας καὶ τῶν ἀνὰ πᾶν
for own to-spend needs and of-the(-men) through every
ἔτος ὑπ᾽ αὐτοῦ κεκλημένων καὶ τοὺς ἑτέρων πόνους τὴν
year by him invited also the of-others toils the
τούτων τράπεζαν ἡδύνειν ἢ συγκροτεῖν, τοὺς τοιούτους
their table to-sweeten or to-furnish the such
οἴκους ἐπενοήσατο, καὶ προσόδους ἐκ γεωργίας ἀπέταξεν
houses be-devised and revenues from farming assigned
ἐν αὐτοῖς ἱκανάς, ἀφ᾽ ὧν ἡ βασιλικὴ πανδαισία αὐτοῦ τε
in them sufficient from which the imperial feast his both
καὶ τῶν μετ᾽ αὐτὸν ἄφθονον καὶ δικαίαν τὴν χορηγίαν
and of-the(-ones) after him abundant and just the supply

ἔμελλεν ἔχειν ἀεί. καὶ τὰ ἐν ταῖς καλουμέναις δὲ Πηγαῖς
was-going to-have always and the in the called too Pegai
βασιλικὰ μεταβολῆς ἕνεκα καταγώγια καὶ ἐνδιαιτήματα
imperial of-change for-the-sake-of lodgings and residences
ὁ αὐτὸς βασιλεὺς ἐκ βάθρων ἀνέστησεν, ἃ καὶ ναῶν
the same emperor from foundations raised which also of-churches
καλλοναῖς κατεκόσμησεν, ἐν οἷς ὅ τε τοῦ ἁγίου προφήτου
with-beauties adorned in which the both of-the holy prophet
Ἠλιοὺ τυγχάνει οἶκος σεπτὸς καὶ ὁ Ἐλισσαίου τοῦ
Elijah is house venerable and the(-house) of-Elisha the
ἐκείνου διαδόχου καὶ φοιτητοῦ, ἔτι δὲ καὶ ὁ τοῦ
his successor and pupil still but also the(-house) of-the
πρώτως ἡμῶν εὐσεβῶς βασιλεύσαντος Κωνσταντίνου τοῦ
first for-us piously having-reigned Constantine the
μεγάλου, καὶ ὁ τῶν νεοφανῶν μαρτύρων τῶν δύο
great and the(-house) of-the newly-appeared martyrs the two
καὶ τεσσαράκοντα, καὶ πρὸς τούτοις ἕτεροι δύο οἶκοι
and forty and besides these other two houses
εὐκτήριοι εἰς ὄνομα καὶ δόξαν εὐσεβῶς δομηθέντες τῆς
of-prayer to name and glory piously built of-the
θεομήτορος. καὶ ἐν τοῖς τῆς Ἱερείας δὲ παλατίοις τοῦ
mother-of-god and in the — of-Hiereia too palaces of-the
αὐτοῦ προφήτου Ἠλιοὺ ἱερὸν εὐκτήριον ἐδομήσατο, οὐδενὸς
same prophet Elijah holy oratory he-built of-no-one
τῶν ἄλλων ἐν κάλλει καὶ ὡραιότητι κρινόμενον δεύτερον.
of-the others in beauty and loveliness judged second
Ἐν δὲ ταῖς τοιαύταις κατὰ μεταφοίτησιν καὶ μεταβολὴν 92
in but the such for change-of-residence and change
βασιλείοις διατριβαῖς καὶ δεξαμενὴν τυγχάνουσαν ὕδατος,
imperial pastimes also cistern being of-water
μεγάλην τε καὶ εὐρύχωρον, ἔργον καὶ πόνημα τοῦ
great both and spacious work and labor of-the

καλλύναντος βασιλέως κατ᾽ ἀρχὰς τὸ προάστειον, ὑπὸ δὲ
having-beautified emperor at beginnings the suburb by but
τοῦ βασιλέως Ἡρακλείου συγχωσθεῖσαν καὶ γεωθεῖσαν καὶ
the emperor Heraclius filled-up and turned-to-earth and
καταφύτευσιν δεξαμένην δένδρων τε καὶ λαχάνων, καθάπερ
planting having-received of-trees both and vegetables as
καὶ αἱ τῶν βασιλικῶν παλατίων οὖσαι ἐντός,
also the(-cisterns) of-the imperial palaces being inside
ἥ τε πρὸ τῆς Μαγναύρας καὶ ἡ μεταξὺ τοῦ τε
the(-one) both before the Magnaura and the(-one) between the both
Ἰουστινιανοῦ τρικλίνου καὶ τοῦ τῆς Ἐκθέσεως, αἵτινες καὶ
of-Justinian triclinium and the(-one) of-the Ekthesis which also
αὐταὶ ὕδωρ ἄφθονον ἔχουσαι καὶ ἰχθύας πρὸς τέρψιν καὶ
themselves water abundant having and fishes for delight and
ἄγραν τῶν βασιλέων ἐκτρέφουσαι, ὑπὸ τοῦ αὐτοῦ βασιλέως
catching of-the emperors rearing by the same emperor
ἠπειρωθεῖσαι εἰς παραδείσων κατασκευὴν ἐχρημάτισαν
made-into-land into of-gardens construction served
διὰ τὸ Στέφανον τὸν μαθηματικὸν τὴν γένεσιν τοῦ
because-of the Stephen the astrologer the nativity of-the
εἰρημένου βασιλέως πολυπραγμονήσαντα εἰπεῖν ἐξ ὕδατος
said emperor having-inquired-into to-say from water
αὐτὸν τελευτᾶν. διὰ τὴν τοιαύτην οὖν αἰτίαν καὶ τῆς ἐν
him to-die because-of the such then cause also the in
Ἱερείᾳ κινστέρνης εἰς παράδεισον μεταμειφθείσης, ἰδὼν
Hiereia cistern into garden having-been-changed having-seen
τὸ χωρίον ὁ ἀοίδιμος βασιλεὺς Βασίλειος πρὸς μὲν
the place the celebrated emperor Basil for indeed
παραδείσων καταφυτεύσεις τόπους κεκτημένον ἀποχρῶντας
of-gardens plantings places having sufficient
καὶ ἱκανούς, ὑποσπανίζον δὲ ὕδατος ποτίμου καὶ καθαροῦ,
and ample lacking but of-water drinkable and pure

αὖθις ἐκφορήσας τὸν χοῦν πολυχειρίᾳ τε καὶ σπουδῇ
again having-carried-out the earth with-many-hands both and zeal
τὸν ὁρώμενον πρὸ ὀλίγου λειμῶνα κομῶντα φυτοῖς
the seen before little meadow luxuriant with-plants
εἰς τὸ ἀρχαῖον σχῆμα μετήγαγε, καὶ ἀντὶ παραδείσου
to the ancient form he-brought-back and instead-of garden
δοχεῖον ἀπειργάσατο ὕδατος ἀφθόνου τε καὶ διαρκοῦς.
receptacle he-made of-water abundant both and lasting
Καὶ ταῦτα μὲν ὅσα κατὰ τὰς βασιλείους περιοχὰς
and these-things indeed as-many-as in the imperial precincts
φιλοπόνως ἅμα καὶ εὐσεβῶς ὁ ἀοίδιμος βασιλεὺς
laboriously at-once and piously the celebrated emperor
ἐτεκτήνατο·
built
ἐξελθέτω δὲ τῶν βασιλείων ἤδη λοιπὸν ὁ λόγος, καὶ 93
let-go-out but from-the palace now henceforth the discourse and
χωρείτω πρὸς τὰ ἑξῆς τῶν κατὰ τὴν βασιλεύουσαν
let-it-go to the next of-the(-works) in the reigning
ταύτην πόλιν καὶ τὰ περὶ αὐτὴν ἐν οἰκοδομαῖς τε καὶ
this city and the about it in buildings both and
ἀνοικοδομαῖς θείων οἴκων ἔργα τοῦ αὐτοκράτορος. ὁρῶν γὰρ
rebuildings of-divine houses works of-the emperor seeing for
τὸν ἀστικὸν καὶ βάναυσον ὄχλον τὸν κατὰ τὴν ἀγοράν,
the urban and vulgar crowd the(-crowd) at the marketplace
ἣ Φόρος προσαγορεύεται, διατρίβοντα καὶ προστετηκότα
which Forum is-called spending-time and wasting-away
ταῖς χρείαις τοῦ βίου ἐν τῷ μὴ ἔχειν πλησίον οἶκον εὐκτήριον
in-the needs of-the life in the not to-have near house of-prayer
τῆς ψυχικῆς ἐπιμελείας λήθην λαμβάνοντα, ναὸν περικαλλῆ
of-the of-soul care forgetfulness taking church very-beautiful
καὶ σεβάσμιον τῇ θεομήτορι κατὰ τὴν ἀγορὰν ἐδείματο,
and venerable to-the mother-of-god at the marketplace he-built

ὡς ἂν καὶ ὄμβρων καὶ χειμώνων εἴη τοῖς ὄχλοις
so-that — both from-rains and from-storms it-might-be for-the crowds
ἀλέξημα καὶ ψυχικῆς σωτηρίας ἐντρύφημα καὶ βοήθημα.
defense and of-soul salvation delight and help
καὶ τὸν ἕτερον δὲ τῆς πανυμνήτου θεοτόκου, τὸν ἐν τοῖς
and the other too of-the all-praised god-bearer the in the
Χαλκοπρατείοις θεῖον ναὸν τῆς πανσέπτου καὶ ἁγίας σοροῦ,
Chalkoprateia divine church of-the all-venerable and holy coffer
ταπεινὸν ἰδὼν καὶ ἀφώτιστον, καὶ φωτοδόχας ἑκατέρωθεν
low having-seen and unlit both windowed on-each-side
ἀναστήσας ἀψῖδας καὶ τὸ τέγος μετεωρίσας ὕψει
having-raised arches and the roof having-lifted with-height
εὐπρεπείας κατηύγασεν καὶ μαρμαρυγαῖς φωτὸς κατηγλάϊσε.
of-seemliness illuminated and with-gleamings of-light made-splendid
τὸν δὲ τοῦ πρώτου τῶν ἀγγέλων ἐν τοῖς Τζήρου
the but of-the first of-the angels in the(-quarter) of-Tzeros
λεγομένοις θεῖον ναὸν καὶ τὴν περὶ αὐτὸν φιλάνθρωπον εἰς
called divine church and the about it humane to
τοὺς πένητας ὑπουργίαν καὶ χορηγίαν ἐκεῖνός ἐστιν ὁ
the poor service and supply he is the(-one)
περιποιησάμενος, καὶ τόν τε ναὸν φαιδρύνας καὶ εἰς τὸ
having-secured and the both church having-brightened and to the
νῦν ὁρώμενον κάλλος περιστήσας καὶ ἀγαγών, καὶ τὴν
now seen beauty having-set and having-brought and the
διακονίαν εἰς τὸ ἀνενδεὲς τῇ τῶν προσόδων ἐπαυξήσει
ministry to the self-sufficiency with-the of-the revenues increase
καταστήσας, καὶ ἐπιδαψιλευσάμενος τὸν εἰς τοὺς πένητας
having-established and having-lavished the to the poor
ἔλεον. καὶ τὸν ἐν Πουλχεριαναῖς δὲ τοῦ ἱερομάρτυρος
pity and the in Poulcherianai too of-the priest-martyr
Λαυρεντίου μέγιστον ναὸν συμπτωθέντα ἀνέστησε, πολλῆς
Laurence very-great church fallen he-raised with-much

ἐμπλήσας τερπνότητος. καὶ ἄλλους δὲ ἱεροὺς οἴκους ἀμφὶ
having-filled delight and other too holy houses around
τοὺς ἑκατὸν περὶ τὴν πόλιν ἀνέστησε, πτωχοτροφεῖά τε καὶ
the hundred about the city he-raised poorhouses both and
ξενῶνας ἐκαινούργησε, καὶ τῶν παλαιωθέντων πλεῖστα
hostels he-renewed and of-the(-ones) grown-old very-many
ἀνενέωσε, νοσοκομεῖά τε καὶ γηροκομεῖα καὶ μοναστήρια.
renewed hospitals both and old-age-homes and monasteries
Οὐ κατὰ τὴν πόλιν δὲ μόνον τὰ τοιαῦτα τῶν ἔργων 94
not in the city but only the such-things of-the works
θεοφιλῶς τε ἅμα καὶ φιλοτίμως εἰργάζετο, ἀλλὰ καὶ
god-lovingly both at-once and munificently he-worked but also
ταύτης ἐκτὸς τὴν ὁμοίαν ἐπεδείκνυτο ἐπιμέλειαν. μεθ᾽
it outside the like showed care with
ἧς καὶ τὸν τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου
which also the of-the apostle and evangelist John
τοῦ θεολόγου ἐν τῷ καλουμένῳ Ἑβδόμῳ ναὸν τῷ
the theologian in the called Hebdomon church by-the
χρόνῳ πονήσαντα καὶ καταβληθέντα ἀνίστησι, καλλοναῖς
time having-suffered and thrown-down raises with-beauties
τε ὡραΐσας καὶ ὀχυρώμασι κατασφαλισάμενος. ἔτι
both having-beautified and with-fortifications having-secured still
δὲ καὶ τὸν πλησιόχωρον αὐτοῦ τοῦ προδρόμου οἶκον,
but also the neighboring to-it of-the forerunner house
πρὸ πάνυ πολλῶν καταπτωθέντα χρόνων καὶ ἐρείπιον
before very many fallen years and ruin
ἀντὶ ναοῦ χρηματίζοντα, περικαθαίρει μὲν τῆς ὕλης
instead-of church being clears indeed of-the timber
καὶ τῶν χωμάτων, ταχίστῃ δὲ οἰκοδομῇ καὶ ἐπιμελείᾳ
and of-the heaps with-swiftest but building and care
τῶν περιφανῶν καὶ μεγάλων ἴσον καθίστησι. τὸ δὲ τοῦ
to-the illustrious and great equal makes the but of-the

κορυφαίου τῶν ἀποστόλων τέμενος ἐν τῷ Ῥηγίῳ, διὰ τὴν
chief of-the apostles precinct in — Rhegion because-of the
ἀπειλουμένην πτῶσιν ἄβατον τυγχάνον, αὐτὸς καθελὼν
threatened fall impassable being he having-taken-down
καὶ ἐκ βάθρων καινουργήσας ἐδείματο εἰς μνήμην αὐτοῦ
and from foundations having-renewed built for memory his
διηνεκῆ τε καὶ ἀνεπίληστον. ἐν δὲ ταῖς τοῦ Βαθύρσου
continual both and unforgettable in but the of-the Bathyrsos
ποταμοῦ ὑπερκειμέναις Ἰουστινιανοῦ γεφύραις Καλλινίκου
river lying-above of-Justinian bridges of-Kallinikos
τοῦ μάρτυρος ἠδαφισμένον ναὸν τοῦ προτέρου κρείττονα
the martyr razed church than-the former better
ἤγειρεν. ἐν δὲ τῷ καλουμένῳ τούτῳ Στενῷ, τὸν αὐχένα
he-raised in but the called this Narrows the neck
τοῦ Εὐξείνου φημί, τὸν τοῦ ἁγίου Φωκᾶ πάνσεπτον οἶκον
of-the Euxine I-mean the of-the holy Phokas all-venerable house
θεαρέστως τε καὶ θεοφιλῶς δομησάμενος, καὶ σύστημά
god-pleasingly both and god-lovingly having-built and community
τι μοναχῶν εὐλαβῶν συναθροίσας, κτίσμασί τε καὶ
some of-monks devout having-gathered with-buildings both and
κτήμασι τὸν τόπον καταπλουτίσας, μονὴν θεοσύλλεκτον
with-possessions the place having-enriched monastery god-gathered
καὶ ἰατρεῖον ψυχῶν ἀπειργάσατο. ἐπὶ τούτοις ἅπασι τὸν
and hospital of-souls made besides these all the
τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἱερὸν οἶκον ἐν τῷ Σωσθενίῳ,
of-the archangel Michael holy house in — Sosthenion
ἐκ μακρῶν διαρρυέντα χρόνων καὶ πλείστοις ὀκλάσαντα
from long having-fallen-apart years and with-very-many having-sunk
ῥήγμασι καὶ ἤδη πρὸς γόνυ κλιθέντα σχεδὸν καὶ τὸ πολὺ
cracks and already to knee bent almost and the much
τῆς περὶ αὐτὸν εὐπρεπείας ἀποβαλόντα, τῶν πτωμάτων τε
of-the about it seemliness having-lost from-the falls both

διανίστησι καὶ πρὸς τὴν προτέραν ἀκμὴν ἀνακαλεσάμενος
raises and to the former prime having-called-back
ὡραιότητος ἁπάσης ἔδειξεν ἔμπλεων. καὶ περὶ μὲν τοὺς
of-beauty all showed full and about indeed the
ἱεροὺς οἴκους καὶ τὴν τούτων ἐπιμέλειαν καὶ διόρθωσιν,
holy houses and the their care and restoration
ἀφ' ὧν μάλιστα ἡ περὶ τὸ θεῖον ὁσιότης χαρακτηρίζεται,
from which most the about the divine holiness is-characterized
τοιοῦτος ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Βασίλειος ἦν.
such the among emperors celebrated Basil was
Εἰδὼς δὲ ὅτι ἐπ' οὐδενὶ τοσοῦτον ὅσον ἐπὶ σωτηρίᾳ ψυχῶν ὁ 95
knowing but that at nothing so-much as at salvation of-souls —
θεὸς ἐπευφραίνεται, καὶ ὅτι ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου
god rejoices and that the(-one) bringing-out worthy from unworthy
ὡς στόμα χρηματίζει Χριστοῦ, οὐδὲ περὶ τὸ ἀποστολικὸν
as mouth serves of-Christ not-even about the apostolic
τοῦτο ἔργον ἀμελὴς ἐφάνη καὶ ῥάθυμος, ἀλλὰ πρῶτον μὲν
this work negligent appeared and indolent but first indeed
τὸ τῶν Ἰουδαίων ἔθνος ἀπερίτμητόν τε καὶ σκληροκάρδιον,
the of-the Jews nation uncircumcised both and hard-hearted
τὸ ὅσον ἐπ' αὐτῷ, εἰς τὴν ὑποταγὴν σαγηνεύει Χριστοῦ.
— as-far-as on him into the subjection nets of-Christ
κελεύσας γὰρ αὐτοὺς τῆς οἰκείας θρησκείας τὰς ἀποδείξεις
having-ordered for them of-the own worship the proofs
κομίζοντας εἰς διαλέξεις χωρεῖν καὶ ἢ δεικνύναι τὰ
bringing to disputations to-go and either to-show the(-things)
κατ' αὐτοὺς ἰσχυρά τε καὶ ἀναντίρρητα, ἢ πειθομένους ὅτι
of them strong both and irrefutable or being-persuaded that
κεφάλαιον τοῦ νόμου καὶ τῶν προφητῶν ὁ Χριστὸς ἦν καὶ
head of-the law and of-the prophets — Christ was and
ὅτι σκιᾶς τύπον εἶχεν ὁ νόμος, ἢ τῇ ἐπιλάμψει τοῦ
that of-shadow type had the law which by-the shining of-the

ἡλιακοῦ φωτὸς διασκεδάζεται, προσέρχεσθαι τῇ τοῦ κυρίου
solar light is-scattered to-come to-the of-the lord
διδασκαλίᾳ καὶ βαπτίζεσθαι, προσθεὶς δὲ καὶ ἀξιωμάτων
teaching and to-be-baptized having-added but also of-dignities
τοῖς προσερχομένοις διανομὰς καὶ τοῦ βάρους τῶν
to-the(-ones) coming distributions and from-the weight of-the
προτέρων ἀπαλλάξας φόρων καὶ ἐπιτίμους ἐξ ἀτίμων
former having-freed taxes and honored from dishonored
ποιεῖν κατεπαγγειλάμενος, πολλοὺς τοῦ ἐπικειμένου
to-make having-promised many from-the lying-upon(-them)
καλύμματος τῆς πωρώσεως ἠλευθέρωσε καὶ πρὸς πίστιν
veil of-the hardening freed and to faith
εἵλκυσε τοῦ Χριστοῦ, εἰ καὶ πάλιν οἱ πλείους μετὰ τὴν ἐκ
drew — of-Christ if even again the more after the from
τοῦ βίου τοῦ βασιλέως ἐπαναχώρησιν πρὸς τὸν οἰκεῖον
the life of-the emperor withdrawal to the own
ὡς κύνες ὑπέστρεψαν ἐμετόν. ἀλλὰ κἂν ἐκεῖνοι, μᾶλλον
as dogs returned vomit but even-if those rather
δέ τινες ἐκείνων, ὡς Αἰθίοπες ἔμειναν ἀμετάβλητοι, ἀλλ᾽
but some of-them as Ethiopians remained unchanged but
ὅ γε φιλόθεος βασιλεὺς ἐντελεῖς τοῦ ἔργου τοὺς μισθοὺς
the indeed god-loving emperor full of-the work the wages
ἕνεκα τῆς σπουδῆς παρὰ θεοῦ ἀπολήψεσθαι ἔμελλεν.
for-the-sake-of the zeal from god to-receive was-going
96 Ὡσαύτως δὲ καὶ περὶ τὸ Βουλγάρων γένος εὑρίσκεται
likewise but also about the of-Bulgarians race is-found
διαγεγονώς. τὸ γὰρ τοιοῦτον ἔθνος, εἰ καὶ πρὸ τούτου τὴν
to-have-acted the for such nation if even before this the
πρὸς εὐσέβειαν μεταβολὴν εἰσδέξασθαι ἔδοξε καὶ πρὸς τὸν
toward piety change to-accept seemed and to the
χριστιανισμὸν μετελθεῖν, ἀλλ᾽ ὅμως ἀπαγὲς ἦν ἔτι πρὸς
Christianity to-go-over but nevertheless unfixed was still toward

τὸ καλὸν καὶ ἀνίδρυτον, ὡς ὑπὸ ἀνέμου φύλλα ῥᾳδίως
the good and unsettled as by wind leaves easily
σαλευόμενον καὶ μετακινούμενον. ἀλλὰ ταῖς τοῦ βασιλέως
shaken and moved but by-the of-the emperor
συχναῖς παραινέσεσι καὶ ταῖς λαμπραῖς δεξιώσεσιν, ἔτι
frequent exhortations and by-the brilliant receptions still
δὲ καὶ ταῖς μεγαλοψύχοις φιλοτιμίαις τε καὶ δωρεαῖς,
but also by-the magnanimous liberalities both and gifts
ἀρχιεπίσκοπόν τε πείθεσθαι καταδέξασθαι καὶ ἐπισκόποις
archbishop both to-be-persuaded to-accept and with-bishops
καταπυκνωθῆναι τὴν χώραν ἀνέχεται· καὶ διά τε
to-be-thickly-filled the land consents and through both
τούτων διά τε τῶν ἐξ ὀρέων τε καὶ τῶν σπηλαίων
these through both the(-men) from mountains both and the caves
τῆς γῆς μετακληθέντων καὶ ἐκεῖσε παρὰ τοῦ βασιλέως
of-the earth called-over and there by the emperor
ἀποσταλέντων, τῶν εὐσεβῶν μοναστῶν, τά τε πατρῷα
sent the pious monks the both paternal
ἤθη καταλιμπάνει καὶ ὁλόκληρον τῷ Χριστῷ σαγηνεύεται.
customs leaves and whole — for-Christ is-netted
Ἀλλὰ καὶ τὸ τῶν Ῥῶς ἔθνος δυσμαχώτατόν τε 97
but also the of-the Rus nation most-hard-to-fight both
καὶ ἀθεώτατον ὂν χρυσοῦ τε καὶ ἀργύρου καὶ
and most-godless being of-gold both and of-silver and
σηρικῶν περιβλημάτων ἱκαναῖς ἐπιδόσεσιν εἰς συμβάσεις
of-silk garments with-sufficient gifts to agreements
ἐφελκυσάμενος, καὶ σπονδὰς πρὸς αὐτοὺς σπεισάμενος
having-drawn and treaties with them having-made
εἰρηνικάς, ἐν μετοχῇ γενέσθαι καὶ τοῦ σωτηριώδους
peaceful in sharing to-come also of-the saving
βαπτίσματος ἔπεισε καὶ ἀρχιεπίσκοπον παρὰ τοῦ πατριάρχου
baptism persuaded and archbishop from the patriarch

Ἰγνατίου τὴν χειροτονίαν δεξάμενον δέξασθαι παρεσκεύασεν,
Ignatius the ordination having-received to-accept prepared
ὃς κατὰ τὴν τοῦ εἰρημένου ἔθνους χώραν παραγεγονὼς
who in the of-the said nation land having-arrived
ἀπὸ τοιαύτης πράξεως εὐπαράδεκτος τῷ ἔθνει γεγένηται.
from such deed well-received by-the nation became
τοῦ γὰρ ἄρχοντος τοῦ τοιούτου γένους σύλλογον τοῦ
of-the for ruler of-the such race assembly of-the
ὑπηκόου ποιησαμένου καὶ μετὰ τῶν περὶ αὐτὸν γερόντων
subjects having-made and with the about him elders
προκαθεσθέντος, οἳ τῶν ἄλλων μᾶλλον τῇ δεισιδαιμονίᾳ
having-sat-in-front who than-the others more to-the superstition
διὰ τὴν μακρὰν συνήθειαν προστετηκότες ἐτύγχανον,
because-of the long custom attached were
καὶ σκοπουμένων περί τε τῆς οἰκείας καὶ τῶν Χριστιανῶν
and considering about both the own and of-the Christians
πίστεως, εἰσκαλεῖται ὁ ἄρτι πρὸς αὐτοὺς φοιτήσας
faith is-called-in the just-now to them having-come
ἀρχιερεύς, καὶ τίνα τὰ παρ᾽ αὐτοῦ καταγγελλόμενα καὶ
high-priest and what the(-things) by him announced and
αὐτοὺς διδάσκεσθαι μέλλοντα ἐπυνθάνετο. τοῦ δὲ τὴν ἱερὰν
them to-be-taught going be-inquired of-him but the holy
τοῦ θείου εὐαγγελίου βίβλον προτείναντος, καί τινα τῶν τοῦ
of-the divine gospel book having-held-out and some of-the of-the
σωτῆρος ἡμῶν καὶ θεοῦ θαυμάτων αὐτοῖς ἀπαγγείλαντος,
savior our and god miracles to-them having-recounted
καὶ τῶν ὑπὸ τοῦ θεοῦ τερατουργηθέντων κατὰ τὴν παλαιὰν
and of-the by — god wrought-as-wonders in the old
τὴν ἱστορίαν αὐτοῖς ἀναπτύξαντος, "εἰ μή τι τῶν
the history to-them having-unfolded if not something of-the
ὁμοίων" ἔφασαν εὐθέως οἱ Ῥῶς "καὶ ἡμεῖς θεασόμεθα,
like said straightway the Rus also we shall-see

καὶ μάλιστα οἷον τὸ ἐν τῇ καμίνῳ τῶν τριῶν λέγεις
and especially such-as the(-thing) in the furnace of-the three you-tell
παίδων, οὐκ ἄν σοι ὅλως πιστεύσωμεν, οὐδὲ τὰς ἀκοὰς ἡμῶν
children not — you at-all we-would-believe nor the ears our
ἔτι τοῖς ὑπὸ σοῦ λεγομένοις ὑπόσχωμεν.” ὁ δὲ πεποιθὼς ἐπὶ
still to-the by you said would-we-submit he but trusting in
τῷ ἀψευδεῖ τοῦ εἰπόντος ὅτι ὃ ἐὰν αἰτήσητε ἐν τῷ
the truthfulness of-the(-one) having-said that whatever — you-ask in the
ὀνόματί μου λήψεσθε καὶ ὅτι ὁ πιστεύων εἰς ἐμὲ τὰ
name my you-will-receive and that the(-one) believing in me the
ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων
works which I do also-he will-do and greater than-these
ποιήσει, ὅταν οὐ πρὸς ἐπίδειξιν ἀλλὰ πρὸς σωτηρίαν ψυχῶν
will-do when not for display but for salvation of-souls
μέλλει γίνεσθαι τὰ γινόμενα, ἔφη πρὸς αὐτούς “εἰ καὶ
are-going to-happen the(-things) happening said to them if even
μὴ ἔξεστιν ἐκπειράζειν κύριον τὸν θεόν, ἀλλ᾽ ὅμως εἰ
not it-is-permitted to-tempt lord — god but nevertheless if
ἐκ ψυχῆς διεγνώκατε προσελθεῖν τῷ θεῷ, αἰτήσασθε ὅπερ
from soul you-have-resolved to-come — to-god ask whatever
καὶ βούλεσθε, καὶ ποιήσει τοῦτο πάντως διὰ τὴν πίστιν
also you-wish and will-do this surely because-of the faith
ὑμῶν ὁ θεός, κἂν ἡμεῖς ἐσμὲν εὐτελεῖς καὶ ἐλάχιστοι.” οἱ
your — god even-if we are cheap and least they
δὲ ᾐτήσαντο αὐτὸ τὸ τῆς πίστεως τῶν Χριστιανῶν βιβλίον,
but asked very the of-the faith of-the Christians book
ἤτοι τὸ θεῖον καὶ ἱερὸν εὐαγγέλιον, ἐν τῇ ὑπ᾽ αὐτῶν
that-is the divine and holy gospel into the by them
ἀναφθείσῃ ἐμβληθῆναι πυρκαϊᾷ· καὶ εἰ ἀβλαβὲς τηρηθείη
kindled to-be-thrown pyre and if unharmed it-should-be-kept
καὶ ἄκαυστον, προσελθεῖν τῷ παρ᾽ αὐτοῦ κηρυσσομένῳ
and unburned to-come to-the by him preached

θεῷ. ῥηθέντων δὲ τούτων, καὶ τοῦ ἱερέως πρὸς τὸν θεὸν
god having-been-said but these-things and the priest to — god
τοὺς ὀφθαλμοὺς καὶ τὰς χεῖρας ἐπάραντος, καὶ εἰπόντος
the eyes and the hands having-raised and having-said
ὅτι δόξασόν σου τὸ ἅγιον ὄνομα, Ἰησοῦ Χριστὲ ὁ θεὸς
that glorify your the holy name Jesus Christ — god
ἡμῶν, καὶ νῦν ἐν ὀφθαλμοῖς τοῦ ἔθνους τούτου παντός,
our also now in eyes of-the nation this all
ἐρρίφη εἰς τὴν κάμινον τοῦ πυρὸς ἡ τοῦ ἁγίου εὐαγγελίου
was-thrown into the furnace of-the fire the of-the holy gospel
βίβλος. ὡρῶν δὲ διεληλυθυιῶν ἱκανῶν, εἶτα τῆς καμίνου
book of-hours but having-passed sufficient then the furnace
κατασβεσθείσης, εὑρέθη τὸ ἱερὸν πυκτίον διαμεῖναν ἀπαθὲς
having-been-quenched was-found the holy tablet having-remained unaffected
καὶ ἀλώβητον καὶ μηδεμίαν ὑπὸ τοῦ πυρὸς δεξάμενον λύμην
and unharmed and no by the fire having-received damage
ἢ μείωσιν, ὡς μηδὲ τῶν ἐν τοῖς κλειδώμασι τῆς βίβλου
or diminution so-that not-even of-the in the clasps of-the book
κροσσῶν τὴν οἱανοῦν ὑπομεινάντων φθορὰν ἢ ἀλλοίωσιν.
tassels the any having-undergone destruction or alteration
ὅπερ ἰδόντες οἱ βάρβαροι, καὶ τῷ μεγέθει καταπλαγέντες
which having-seen the barbarians and by-the greatness having-been-stunned
τοῦ θαύματος, ἀνενδοιάστως βαπτίζεσθαι ἤρξαντο.
of-the miracle without-hesitation to-be-baptized began

98 Οὕτως οὖν τῶν τοιούτων ἔργων ἐν τοῖς χρόνοις
so then of-the such works in the times
τῆς βασιλείας τοῦ συνετοῦ βασιλέως Βασιλείου
of-the reign of-the intelligent emperor Basil
καταπραττομένων, καὶ δεξιῶς κατὰ νοῦν τῶν πραγμάτων
being-accomplished and favorably according-to mind the affairs
χωρούντων αὐτῷ, καὶ τοῦ καθ' ἡμέραν θάλλοντος βίου, καὶ
going for-him and the by day flourishing life and

εὐθυμίας χορευούσης περὶ τὴν πόλιν καὶ τὰ βασίλεια, καὶ
cheerfulness dancing about the city and the palace and
γαλήνης ἡπλωμένης ἀνὰ πᾶσαν σχεδὸν νῆσον καὶ ἤπειρον,
calm spread-out over every almost island and mainland
ἐξαίφνης λαῖλαψ καὶ ζάλη καὶ καταιγὶς συμφορῶν τοῖς
suddenly whirlwind and tempest and hurricane of-misfortunes on-the
ἀνακτόροις ἐκώμασε, κοπετὸς καὶ θρῆνος καὶ Ἰλιὰς λυπηρῶν
palace reveled lamentation and dirge and Iliad of-griefs
καὶ τραγῳδία θλιβερῶν ἐχόρευσε περὶ τὰ βασίλεια. ὁ γὰρ
and tragedy of-afflictions danced about the palace the for
φίλτατος καὶ πρωτότοκος υἱὸς τῷ βασιλεῖ Κωνσταντῖνος ἐν
dearest and first-born son to-the emperor Constantine in
αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, ἐν τῇ ἀκμῇ τῆς νεότητος, ἐν τῷ
very the flower of-the age in the prime of-the youth in the
πρὸς ζῆλον ἄρχεσθαι τρέχειν τῆς πατρικῆς γενναιότητος,
toward emulation to-begin to-run of-the paternal nobility
ὀξείᾳ νόσῳ περιπεσὼν καὶ ἐπὶ ὀλίγαις ἡμέραις τῷ
into-acute disease having-fallen and for few days by-the
πυρετῷ καυσωθείς, πᾶσαν τὴν ζωτικὴν ἰκμάδα τοῦ παρὰ
fever having-been-burned all the vital moisture the beyond
φύσιν λάβρου πυρὸς συντόμως ἐκδαπανήσαντος, τὸν βίον
nature fierce fire quickly having-consumed the life
ἐξέλιπε, πένθος ἀμύθητον καταλιπὼν τῷ πατρί. πλὴν ἐπεὶ
left grief unspeakable having-left to-the father but since
λόγῳ κρατεῖν ὀφείλει τῶν ἀλόγων παθῶν ὁ πεπαιδευμένος
by-reason to-rule ought the irrational passions the educated
ἀνήρ, καὶ αὐτὸς ἄνθρωπος ὢν καὶ θνητὸς ᾔδει καὶ τὸν υἱὸν
man also he human being and mortal knew also the son
ἔχων ὁμοίως θνητόν, καὶ διὰ τοῦτο τὸ πέρα τοῦ μετρίου
having likewise mortal and because-of this the beyond the measure
τὸ συμβὰν ἀποδύρεσθαι ὡς ἀγεννές τε καὶ ἄνανδρον
the happening to-lament as ignoble both and unmanly

τῇ γυναικωνίτιδι διδοὺς θᾶττον ἐγένετο ἑαυτοῦ, καὶ τὴν
to-the women's-quarters giving more-quickly became himself and the
εὐχάριστον τοῦ γενναίου Ἰὼβ φωνὴν ἀνεφθέγξατο, "ὁ
thankful of-the noble Job voice uttered the
κύριος ἔδωκεν" εἰπών, "ὁ κύριος αὖθις ἀφείλατο. ὡς τῷ
lord gave having-said the lord again took-away as to-the
κυρίῳ ἔδοξεν, οὕτω καὶ γέγονεν. εἴη αὐτοῦ εὐλογημένον τὸ
lord it-seemed so also it-happened may-be his blessed the
ὄνομα." καὶ "τί" φησί "θαυμαστόν, εἰ ὁ δοὺς πάλιν
name and what he-says marvelous if the(-one) having-given again
ἀπείληφεν, ὡς ἐβούλευεν, ὅπερ δέδωκεν;" καὶ μᾶλλον εἰς
has-taken-back as he-planned what he-has-given and rather for
παραμυθίαν τῆς μητρὸς καὶ τῶν ἀδελφῶν γεγονὼς ἦν
consolation of-the mother and of-the brothers having-become he-was
ἐπὶ τῶν συνήθων αὖθις, προϊστάμενος ὀρφανῶν, χήραις
at the accustomed-things again presiding-over orphans to-widows
ἐπικουρῶν, χορηγῶν στρατιώταις καὶ πένησιν, ἀδικουμένοις
helping supplying to-soldiers and to-poor to-the-wronged
ἐπαμύνων, καὶ τῶν φοβουμένων τὸν κύριον ἡδέως καὶ
defending and to-the(-ones) fearing the lord gladly and
εὐμενῶς ἀκροώμενος, τὰ λυσιτελῆ καὶ σωτήρια καὶ τὴν ἄνω
kindly listening the profitable-things and saving-things and the above
βασιλείαν προξενοῦντα ἐξηγουμένων καὶ ὑποτιθεμένων αὐτῷ.
kingdom procuring explaining and suggesting to-him
99 Ἐπεὶ δὲ εἰώθασι πολλάκις οἱ καθεστηκότες ἐπὶ τῶν
since but are-accustomed often the(-men) set over the
ἀρχῶν καὶ τῶν διοικήσεων, τὴν εὔνοιαν δῆθεν ὑπεμφαίνειν
offices and the administrations the goodwill forsooth to-show
ἐθέλοντες, τάχα δὲ καὶ μονιμωτέραν ἐντεῦθεν οἰόμενοι
wishing perhaps but also more-lasting from-here thinking
τὴν ἀρχὴν ἑαυτοῖς καταστήσασθαι, ὑποτιθέναι τὰ
the office for-themselves to-make to-suggest the(-things)

πρὸς αὔξησιν τῶν εἰσφορῶν καὶ τὸν τῶν προσόδων
for increase of-the contributions and the of-the revenues
συντελοῦντα πλεονασμόν, ὑπέμνησέ ποτε καὶ τῷ γενναίῳ
contributing surplus reminded once also the noble
τούτῳ βασιλεῖ ἀπὸ τοιαύτης γνώμης ὁ τὴν τοῦ
this emperor from such mind the(-man) the of-the
γενικοῦ τὸ τηνικαῦτα διέπων ἀρχὴν ἀποσταλῆναι εἰς
genikon — at-that-time administering office to-be-sent to
τὰ ὑπὸ τὴν Ῥωμαϊκὴν ἐξουσίαν ἅπαντα θέματα τοὺς
the under the Roman authority all themes the
λεγομένους ἐπόπτας τούτους καὶ ἐξισωτάς, ὡς ἄν, φησί,
so-called inspectors these and equalizers so-that — he-says
τοὺς ἀγροὺς καὶ τὰ χωρία, ὧν ὁ χρόνος τοὺς δεσπότας
the fields and the estates of-which the time the masters
διά τινα περιπέτειαν τοῖς οἰκείοις ἐπέκλυσε ῥεύμασι,
through some vicissitude with-the own flooded streams
πρὸς ἑτέρους διάθωνται καὶ πρόσοδον ἐντεῦθεν οὐχὶ μικρὰν
to others they-may-assign and revenue from-here not small
τῷ ταμείῳ τῷ βασιλικῷ προσπορίσωσιν. ὁ δὲ βασιλεὺς
to-the treasury the imperial they-may-provide the but emperor
ἀποδέχεσθαι προσποιησάμενος τὴν ὑπόμνησιν, ἐκλέξασθαι
to-accept having-pretended the reminder to-choose
καὶ εὐτρεπίσαι καὶ αὐτῷ προσαγαγεῖν τοὺς ὀφείλοντας
and to-make-ready and to-him to-bring the(-men) obliged
τὸ ἔργον ἐπιτελέσαι καλῶς προετρέψατο. σκεψάμενος δὲ
the work to-accomplish well urged having-considered but
καὶ φροντίσας ὁ γενικός, καὶ ὡς ἐδόκει κάλλιστα τοὺς
and having-taken-thought the genikos and as it-seemed best the
ἀρίστους ἐπιλεξάμενος, καὶ τὰς τῶν ἐκλεγέντων κλήσεις
best having-chosen and the of-the chosen names
εἰσαγαγὼν πρὸς αὐτόν, πολλῆς ἐνομίσθη μέμψεως ἄξιος
having-brought-in to him of-much was-thought of-blame worthy

καὶ σφοδροτέροις ὑπεβλήθη ὀνειδισμοῖς, εἰ τοιούτους εἰς τὸ
and to-more-vehement was-subjected reproaches if such-men to the
τοιοῦτον ἔργον προβάλλεται. τοῦ δὲ μὴ ἔχειν ἐν τοῖς
such work he-puts-forward of-him but not to-have among the(-men)
πολιτευομένοις κρείττονας λέγοντος, ὁ βασιλεὺς ἀπεκρίνατο
in-public-life better saying the emperor answered
ὅτι παρ᾽ ἐμοὶ τοιοῦτον τὸ τῆς προκειμένης διακονίας ἔργον
that with me such the of-the present service work
κρίνεται ὥστε, εἴπερ οἷόν τε ἦν, αὐτὸν ἐμὲ πρὸς τὴν
is-judged that if able — it-were very me to the
τούτων διοίκησιν ἐξελθεῖν. ἐπεὶ δὲ τοῦτο οἶδα ὅτι δοκεῖ
of-these administration to-go-out since but this I-know that seems
τυχὸν ἀπρεπὲς καὶ ἀδύνατον, ἐξ ἀνάγκης ἐπὶ τοῖς δυσὶ τῆς
perhaps unseemly and impossible from necessity on the two of-the
πολιτείας μαγίστροις, οἳ καὶ χρόνῳ καὶ πείρᾳ καὶ ταῖς
state magistroi who both by-time and by-experience and by-the
πολλαῖς ἐν τῷ μακρῷ βίῳ τῶν πολιτικῶν ἀρχῶν διοικήσεσιν,
many in the long life of-the civil offices administrations
ἐν αἷς ἐξητάσθησαν, ἀκίβδηλον καὶ καθαρὸν τῆς ἀρετῆς
in which they-were-examined unalloyed and pure of-the virtue
ἐξενηνόχασι τὸ δοκίμιον, τὰς ἐλπίδας ἀποσαλεύω, καὶ τὴν
have-brought-forth the test the hopes I-anchor and the
διακονίαν ὑπὸ τούτων ἀνυσθῆναι δεόντως θαρρῶ. ἀπελθὼν
service by them to-be-accomplished fittingly I-trust having-gone
οὖν, φησίν, αὐτὸς σὺ τούτοις ἀπάγγειλον τὸ τῆς διακονίας
then he-says yourself you to-these report the of-the service
ἐπωφελὲς καὶ τὸ θέλημα τὸ ἐμόν. καὶ βουλομένων αὐτῶν
benefit and the will the my and wishing they
ἐξελθεῖν ἐπευδοκῶ καὶ αὐτὸς καὶ ἐπισφραγίζω τὸ βούλευμα.
to-go-out I-approve also myself and I-seal the plan
ὡς δὲ ἀκούσαντες οἱ ἄνδρες ἦλθον εἰς ἔκπληξιν, καὶ τὸ
when but having-heard the men came to astonishment and the

γῆρας ἀνθ᾽ ἱκετηρίας καὶ τοὺς πολλοὺς ὑπὲρ τοῦ κοινοῦ
old-age instead-of supplication and the many for the common-weal
καμάτους καὶ πόνους αὐτῶν προβαλλόμενοι παρενεχθῆναι
labors and toils their putting-forward to-be-taken-away
τὸ τῆς τοιαύτης διακονίας ποτήριον ἐξ αὐτῶν καθικέτευον,
the of-the such service cup from them they-begged
ἐξ ἀνάγκης ὑπέστρεψεν ἄπρακτος ὁ πεμφθείς, καὶ τῷ
from necessity returned unsuccessful the(-one) sent and to-the
βασιλεῖ τὰ παρὰ τῶν μαγίστρων ἀπήγγειλεν. ἅπερ
emperor the(-things) from the magistroi reported which-things
ἀκούσας εἶπεν ὁ βασιλεὺς ὅτι εἰ τὸ ἐμὲ ἐξελθεῖν δοκεῖ τε
having-heard said the emperor that if the me to-go-out seems both
καὶ λέγεται εἶναι ἀδύνατον, παραιτοῦνται δὲ τὴν ὑπουργίαν
and is-said to-be impossible decline but the service
καὶ οἱ λαμπρότατοι μάγιστροι, οὐδένα ἔχων τοῦ πράγματος
also the most-illustrious magistroi no-one having of-the matter
διοικητὴν ἀξιόχρεων καταλειφθῆναι τὸ ὑποβαλλόμενον
administrator worthy to-be-left the(-thing) proposed
βούλομαι ἀνεπίσκεπτον καὶ ἀδιερεύνητον. κρεῖττον γάρ,
I-wish uninspected and unexamined better for
φησί, παρακερδαίνειν τινὰς ἀπὸ τῶν ἐμῶν οὐ καλῶς
he-says to-gain-on-the-side some from the my-things not well
ἢ κακῶς ὑποπεσεῖν τινὰ ζημιώδει κακῷ καὶ ἐπιτριβούσῃ
than wrongly to-fall-under anyone to-ruinous evil and crushing
αὐτὸν συμφορᾷ. καὶ ἐπὶ τούτῳ τὸν ἅπαντα χρόνον τῆς
him misfortune and on this the whole time of-the
αὐτοκρατορίας αὐτοῦ ἔμεινεν ἀνέποπτος, ὡς ἄν τις
sole-rule his remained uninspected as — someone
εἴποι, καὶ ἀνεξίσωτος, ἢ μᾶλλον εἰπεῖν ἐλεύθερός τε καὶ
might-say and unequalized or rather to-say free both and
ἀδιάπρακτος, ὁ ὑπὸ τὴν Ῥωμαϊκὴν ἐξουσίαν ἅπας τῶν ὅλων
undisturbed the under the Roman authority all of-the whole

θεμάτων λαὸς καὶ τὰ χωρία καὶ οἱ ἀγροὶ τοῖς γειτονοῦσι τῶν
themes people and the estates and the fields to-the neighboring of-the
πενήτων προκείμενοι εἰς ἀπόλαυσιν. τοιοῦτος ἦν περὶ πᾶν
poor lying-before for enjoyment such he-was about all
τὸ ὑπήκοον, μάλιστα δὲ τὸν ὄχλον τὸν ἀγροδίαιτον, πατρικὴν
the subjects especially but the crowd the country-dwelling paternal
ἐπιδεικνύμενος κηδεμονίαν καὶ πρόνοιαν ὁ ἀγαθὸς βασιλεύς.
showing care and forethought the good emperor
100 Ἀλλὰ καὶ πάλιν ὁ φθόνος ἑτέραν ἤγειρε περὶ τὰ βασίλεια
but also again the envy another raised about the palace
ζάλην καὶ θύελλαν, καθ' ἑαυτῆς τὴν φύσιν συνταράσσων
tempest and storm against itself the nature confounding
τε καὶ κυκῶν. ἄρτι γὰρ τοῦ φιλτάτου τῷ βασιλεῖ υἱοῦ
both and stirring just-now for the dearest to-the emperor son
Κωνσταντίνου τὸν βίον ἀπολιπόντος, καὶ μεταπεσόντος τοῦ
Constantine the life having-left and having-shifted the
φίλτρου καὶ τῶν ἐλπίδων ἐπὶ τὸν δεύτερον υἱὸν Λέοντα,
love and the hopes to the second son Leo
οὐκ ἤνεγκε πράως τὸ βάσκανον τῶν δαιμόνων φῦλον τὸ
not bore gently the envious of-the demons tribe the
πρᾶον καὶ ἥσυχον καὶ εὐσεβὲς ἅμα καὶ ἐμμελές, ὡς ἔοικεν,
gentle and quiet and pious at-once and harmonious as it-seems
ὁρῶν τοῦ διαδέχεσθαι μέλλοντος τὴν βασίλειον ταύτην
seeing of-the(-one) to-succeed going the imperial this
ἀρχήν, καὶ τὴν ἐντεῦθεν τοῦ ὑπηκόου στοχαζομένην ἐπὶ τῆς
rule and the from-here of-the subjects aimed-at under the
αὐτοῦ βασιλείας εὐετηρίαν καὶ πρὸς πάντα τὰ ἐπαινούμενα
his reign prosperity and toward all the praised
αὔξησιν· καὶ διὰ τοῦτο κονίεται κατ' αὐτοῦ καὶ οὑτωσί
increase and because-of this prepares-to-wrestle against him and thus
πως ἀνταγωνίζεται. ἦν τις τῶν πάνυ φιλουμένων καὶ
somehow contends there-was one of-the very loved and

πιστευομένων παρὰ τῷ ἀοιδίμῳ Βασιλείῳ μοναχός, ὡς
trusted by the celebrated Basil monk as
ἐδόκει, καὶ ἱερεύς, καὶ φίλος αὐτῷ καὶ ὑπουργὸς δεξιός, ὃν
he-seemed and priest and friend to-him and minister able whom
Σανδαβαρηνὸν κατωνόμαζον· ὃς εἰ καὶ παρὰ τοῦ βασιλέως
Sandabarenos they-named who if even by the emperor
ἐστέργετο, ἀλλ᾽ οὐκ εἶχε παρὰ τοῖς ἄλλοις δόξαν χρηστὴν
was-loved but not had among the others repute good
οὐδ᾽ ὑπόληψιν ἀνεπίληπτον. καὶ διὰ τοῦτο πολλάκις καὶ
nor reputation blameless and because-of this often also
ὑπὸ τοῦ σοφωτάτου διεκωμῳδεῖτο Λέοντος ὡς γόης καὶ
by the most-wise was-lampooned Leo as sorcerer and
ἀπατεὼν καὶ εἰς ἃ μὴ δεῖ τὸν βασιλέα παρασύρων
deceiver and into what-things not is-needful the emperor dragging
καὶ τῶν καθηκόντων ἐκδιαιτῶν. ἃ δὴ πυνθανόμενος
and from-the fitting-things leading-astray which-things indeed learning
ὁ φέναξ ἐκεῖνος καὶ πονηρὸς εὔνοιαν πλάττεται καὶ φιλίαν
the cheat that and wicked goodwill feigns and friendship
πρὸς τὸν χρηστὸν ὑποκρίνεται Λέοντα, καὶ φησὶ πρὸς
toward the good pretends Leo and says to
αὐτὸν ὡς ἵνα τί νεανίας ἤδη ὢν καὶ παρὰ τῷ πατρί σου
him that why — youth already being and by the father your
φιλούμενος μὴ ἐπιφέρῃ κρυπτῶς ῥομφαίαν ἢ μάχαιραν,
loved do-you-not carry secretly sword or dagger
ὅταν κατ᾽ ἀγροὺς συνιππάζῃ σου τῷ πατρί, ἵνα καὶ αὐτῷ, εἰ
when in fields you-ride-with your the father that also to-him if
κατὰ θηρίου χρείαν σχῇ, ἐπιδιδῷς, καὶ εἴ τι λαθραῖον
against beast need he-may-have you-may-hand-over and if some secret
πολλάκις κατ᾽ αὐτοῦ ἐπιβούλευμα γένηται, μὴ ἄνοπλος
often against him plot may-happen not unarmed
εὑρεθῇς, ἀλλ᾽ ἔχῃς τι μεθ᾽ ὅτου δυνηθῇς τοὺς
you-may-be-found but you-may-have something with which you-may-be-able the

πατρικοὺς ἐχθροὺς ἀνταμύνασθαι. οὐχ ὑπειδόμενος δὲ τὸν
paternal enemies to-repel not having-suspected but the
δόλον ἐκεῖνος οὐδὲ τὸ δολερὸν τοῦ ἀνδρὸς συννοήσας (τὸ
trick he nor the treachery of-the man having-perceived the
γὰρ μὴ πρόχειρον εἰς κακίαν οὐδὲ ὑπονοεῖν ἐστὶ τὰ πονηρὰ
for not ready for evil not-even to-suspect is the wicked-things
εὐχερές) δέχεται τὴν βουλὴν καὶ πείθεται μάχαιραν τοῦ
easy accepts the counsel and is-persuaded dagger of-the
ὑποδήματος ἐντὸς ἐπιφέρεσθαι. ὡς οὖν ὁ ἐπίβουλος ἔγνω
boot inside to-carry when then the plotter knew
χωρήσασαν εἰς ἔργον τὴν αὐτοῦ συμβουλήν, ἀπαγγέλλει
having-gone into deed the his counsel he-reports
τῷ βασιλεῖ ὅτι ὁ υἱός σου ἐπιβουλεύει σε ἀνελεῖν· καὶ εἰ
to-the emperor that the son your plots you to-kill and if
ἀπιστεῖς, ὅταν κατὰ θήραν ἤ που ἄλλοθι μέλλεις τῆς
you-disbelieve when for hunting or somewhere elsewhere you-are-going from-the
βασιλίδος ὑπεξελθεῖν, κέλευσον περιαιρεθῆναι τὰ πέδιλα
queen-city to-go-out order to-be-removed the sandals
τῶν ποδῶν αὐτοῦ, καὶ εἰ εὑρεθήσεται ξίφος ἐπιφερόμενος,
of-the feet his and if he-shall-be-found sword carrying
γνῶθι ὅτι πρὸς τὴν σὴν αὐτὸ σφαγὴν ἡτοιμάσατο.
know that for the your it slaughter he-prepared
καταγγελθείσης οὖν ἐξόδου βασιλικῆς συνεξῆλθεν ἅπαν τὸ
having-been-announced then departure imperial went-out-with all the
εἰωθός, καὶ κατά τινα τόπον γενομένων αὐτῶν προσποιεῖται
accustomed and at some place having-come they pretends
χρείαν ἔχειν μαχαίρας ὁ βασιλεύς, καὶ ἐπεζήτει ταύτην μετὰ
need to-have of-dagger the emperor and sought it with
σπουδῆς. συμπαρὼν δὲ ὁ υἱός, καὶ μηδὲν τῶν ὑπονοουμένων
zeal being-present but the son and nothing of-the suspected
τῷ πατρὶ προειδόμενος, ἀκάκως πάνυ καὶ ἀπονήρως
by-the father having-foreseen innocently very and guilelessly

ἐφελκυσάμενος ἣν ἐπεφέρετο μάχαιραν ἐπιδίδωσι τῷ
having-drawn which he-carried dagger hands to-the
πατρί. γενομένου δὲ τούτου ἔδοξεν εὐθέως ἡ κατ᾽ αὐτοῦ
father having-happened but this seemed straightway the against him
προσαγγελία πιστὴ καὶ αἱ παρ᾽ αὐτοῦ ἀπολογίαι μάταιαι
denunciation trustworthy and the from him pleas vain
καὶ κεναί. ὑποστρεψάντων οὖν αὐτίκα πρὸς τὰ βασίλεια,
and empty having-returned then at-once to the palace
πρὸς ὀργὴν ὁ βασιλεὺς κατὰ τοῦ υἱοῦ διανίσταται, καὶ κατά
to anger the emperor against the son rises and in
τινα τῶν βασιλείων οἴκων, ὃς Μαργαρίτης κατονομάζεται,
one of-the palace houses which Margarites is-named
ἔμφρουρον τοῦτον πεποίηται, καὶ τῶν ἐρυθρῶν πεδίλων
in-custody him made and of-the red sandals
ἀπογυμνοῖ. διηρέθιστο δὲ παρὰ τοῦ ἐχθροῦ καὶ ἐκδικητοῦ
strips he-was-provoked but by the enemy and avenger
πρὸς τὸ καὶ τοὺς λύχνους ἐπισβέσαι τῶν ὀφθαλμῶν.
to the also the lamps to-extinguish of-the eyes
ἀλλὰ τοῦτο μὲν ὑπὸ τοῦ τῆς βασιλίδος ἀρχιερέως
but this indeed by the of-the queen-city high-priest
καὶ τῆς συγκλήτου βουλῆς κωλύεται διαπράξασθαι, τῆς
and the senatorial council is-prevented to-accomplish of-the
εἱρκτῆς δ᾽ ὅμως εἶχεν ἐντός. χρόνου δὲ παραδραμόντος
prison but nevertheless he-held inside time but having-passed
συχνοῦ, καὶ τῆς φύσεως οὐ γνωριζούσης ἑαυτὴν ἀλλ᾽ ὑπὸ
long and the nature not recognizing itself but by
τῶν πονηρῶν πνευμάτων τραχυνομένης, τῶν δὲ τῆς
the wicked spirits being-exasperated of-the(-men) but of-the
γερουσίας ὑπερεχόντων πολλάκις βουληθέντων ὑπὲρ τοῦ
senate eminent often having-wished for the
υἱοῦ πρὸς τὸν πατέρα διαπρεσβεύσασθαι, ἄλλοτε δὲ
son to the father to-intercede at-another-time but

κατ᾽ ἄλλην αἰτίαν κωλυομένων, ἀπὸ τοιαύτης προφάσεως
for another reason being-prevented from such pretext
εὔλογον ἔσχον ἀφορμὴν εἰς τὸ κατανύσαι τὸ βούλημα.
reasonable they-had occasion for the to-accomplish the wish
101 ἦν τι ζῷον πτηνὸν ἐν ταλάρῳ πλεκτῷ κατὰ τὰ
there-was some creature winged in basket woven in the
βασίλεια αἰωρούμενον, μιμηλὸν καὶ πολύφωνον, ὃ
palace hanging mimicking and many-voiced which
ψιττακὸς ὀνομάζεται· ὅπερ εἴτε πρός τινων διδαχθὲν εἴτε
parrot is-named which either by some taught or
ἄλλως πως πολλάκις "αἲ αἲ κῦρ Λέων" ἐφθέγγετο.
otherwise somehow often alas alas lord Leo uttered
πανδαισίας δέ ποτε τελουμένης τῷ βασιλεῖ, καὶ τῶν
feast but once being-held for-the emperor and the
πρώτων τῆς βουλῆς συνεστιωμένων αὐτῷ, καὶ τοῦ ὄρνιθος
first of-the senate feasting-with him and the bird
πολλάκις φθεγγομένου τὸ προρρηθέν, ἐπιστυγνάσαντες
often uttering the(-thing) said-before having-become-gloomy
οἱ δαιτυμόνες καὶ τῆς εὐωχίας παυσάμενοι ἐπὶ συννοίας
the banqueters and from-the feasting having-ceased in thought
ἐκάθηντο. οἷς προσσχὼν ὁ βασιλεὺς τὴν αἰτίαν τῆς τῶν
sat to-whom having-attended the emperor the cause of-the from-the
ἐδεστῶν ἀποχῆς ἐπυνθάνετο. οἱ δὲ δακρύων ὑποπλησθέντες
foods abstention inquired they but with-tears filled
τοὺς ὀφθαλμοὺς "τίνα βρῶσιν" εἶπον "φαγούμεθα, οὕτως
the eyes what food they-said shall-we-eat so
ὑπὸ τῆς φωνῆς τοῦ ἀλόγου τούτου ὀνειδιζόμενοι οἱ
by the voice of-the irrational this being-reproached the(-ones)
δοκοῦντες ἡμεῖς λογικοί τε καὶ φιλοδέσποτοι, ὅτι αὐτὸ
seeming we rational both and master-loving that it
μὲν τὸν οἰκεῖον ἀνακαλεῖται δεσπότην, ἡμεῖς δὲ τρυφῶντες
indeed the own calls-back master we but luxuriating

λήθην τοῦ μὴ ἀδικήσαντος δεσποσύνου ἐλάβομεν. εἰ
forgetfulness of-the not having-wronged master's-son took if
μὲν γὰρ ἐλέγχεται ἀδικῶν καὶ κατὰ τῆς πατρικῆς
indeed for be-is-convicted doing-wrong and against the paternal
κεφαλῆς εὐτρεπίσας τὴν δεξιάν, αὐτόχειρες αὐτοῦ ἡμεῖς
head having-made-ready the right-hand murderers his we
πάντες γενοίμεθα καὶ τοῦ αἵματος αὐτοῦ κορεσθείημεν·
all may-we-become and with-the blood his may-we-be-sated
εἰ δὲ ἐφ' οἷς ἐνεκλήθη διαφεύγει τὸν ἔλεγχον, μέχρι
if but on what be-was-accused be-escapes the proof until
τίνος ἡ συκοφάντις γλῶσσα δυναμωθήσεται κατ' αὐτοῦ;"
what the sycophantic tongue will-be-strengthened against him
μαλακισθεὶς οὖν τοῖς τοιούτοις τῶν λόγων ὁ βασιλεὺς τότε
having-been-softened then by-the such of-the words the emperor then
μὲν καθεσθῆναι τούτους προσέταξε, καὶ σκοπῆσαι περὶ τοῦ
indeed to-be-seated them ordered and to-consider about the
πράγματος ἐπηγγείλατο, μετ' οὐ πολὺ δὲ πρὸς τὴν φύσιν
matter promised after not long but to the nature
ἐπανελθὼν ἐξάγει τε τῆς φρουρᾶς καὶ εἰς ὄψιν ἄγει
having-returned brings-out both from-the prison and into sight brings
αὐτοῦ, καὶ τὴν πένθιμον ἀμείβει στολήν, καὶ τὸ περιττὸν
his and the mourning changes robe and the excess
τῆς ἐν τῇ λύπῃ τραφείσης κόμης περιαιρεθῆναι κελεύει, καὶ
of-the in the grief grown hair to-be-removed orders and
τὴν προτέραν τῆς βασιλείας τάξιν καὶ τιμὴν ἀποδίδωσιν.
the former of-the kingship rank and honor restores
Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ φθινάδι νόσῳ περιπίπτει 102
not much the(-time) in middle and wasting into-disease falls
ὁ βασιλεύς, ἐκ διαρροίας παρακολουθησάσῃ γαστρός,
the emperor from diarrhea having-followed of-belly
ἣ τὴν ἀρχὴν ὑπό τινος τῶν κατὰ θήραν παραπτώσεων
which the beginning from some of-the in hunting accidents

ἔλαβεν· καὶ λοιπὸν κατ᾽ ὀλίγον τῇ τοιαύτῃ τηκεδόνι
took and thenceforth by little by-the such consumption
κατεμαραίνετο. διαθεὶς δὲ τὰ τῆς βασιλείας
he-wasted-away having-arranged but the(-affairs) of-the empire
ἄριστα καὶ τὸν κληρονόμον γνωρίσας, καὶ περὶ
best and the heir having-made-known and about
τῶν καθ᾽ ἕκαστα τὰ εἰκότα βουλευσάμενός τε
the(-matters) in each the fitting having-planned both
καὶ ἐμφρόνως διορισάμενος, ὕστερον πυρετοῦ καυσώδους
and sensibly having-determined later fever burning
ἀναφλεγέντος αὐτῷ πᾶσαν τὴν ζωτικὴν ἰκμάδα ἀνιμωμένου
having-flared-up in-him all the vital moisture drawing-up
καὶ ἀναλίσκοντος τὸν βίον ἀπέλιπε, συμβασιλεύσας μὲν
and consuming the life he-left having-co-reigned indeed
τῷ πρὸ αὐτοῦ Μιχαὴλ χρόνον ἕνα, ἐν ἑτέροις δὲ
with-the before him Michael year one in other but
χρόνοις ἐννεακαίδεκα περὶ τὴν αὐτοκράτορα τῆς βασιλείας
years nineteen in the sole of-the empire
διαπρέψας ἀρχήν, ἄριστα μὲν τὰ πολιτικὰ διαθείς,
having-been-distinguished rule best indeed the civil having-arranged
κάλλιστα δὲ καὶ περὶ τὰ στρατιωτικὰ διαγεγονώς, καὶ
finest but also about the military having-acted and
πλατύνας μὲν τὰ ὅρια τῆς ἀρχῆς, ἀδικίαν δὲ καὶ βίαν
having-widened indeed the bounds of-the rule injustice but and violence
ἐξελάσας ἀπὸ τοῦ ὑπηκόου παντός, ὡς καὶ τὴν Ὁμηρικὴν
having-driven from the subjects all so-that also the Homeric
περὶ τοῦ ἀρίστου βασιλέως μαρτυρίαν ἁρμόζειν αὐτῷ τὴν
about the best king testimony to-fit him the
ἀμφότερον, βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής.
both king both good mighty and spearman

Διαδέχεται δὲ τὴν ὅλην τῆς ἐξουσίας ἀρχὴν ὁ καὶ παρὰ
succeeds but to-the whole of-the authority rule the both by
τῆς φύσεως καὶ παρὰ τῆς ἀρετῆς ἐπὶ τὸν πατρῷον
the nature and by the virtue to the paternal
κλῆρον καλούμενος καὶ παρὰ τοῦ ὑπηκόου δι᾽ εὐχῶν
inheritance called and by the subjects through prayers
ἐπιζητούμενος, Λέων ὁ πραότατος καὶ σοφώτατος καὶ
sought Leo the most-gentle and most-wise and
πρῶτος τῶν ἔτι περιλειπομένων υἱῶν.
first of-the still remaining sons
Καὶ τὰ μὲν περὶ τῆς εὐσεβοῦς βασιλείας Βασιλείου
and the(-things) indeed about the pious reign of-Basil
τοῦ ἀοιδίμου, ὅσα μὴ τῆς λήθης παρεσύρη ῥεύμασι καὶ
the celebrated as-many-as not of-the oblivion were-swept-away by-streams and
τῷ διὰ μέσου χρόνῳ ἐξίτηλα γέγονε, καὶ αὐτὴ δὲ ἡ
by-the through middle time faded have-become and itself too the
πρὸ τῆς βασιλείας ἀγωγή, καὶ ὅσα ἡ τῆς ὅλης αὐτοῦ
before the reign upbringing and as-many-as the of-the whole his
ζωῆς περιέχει ὑπόθεσις, κατὰ τὸ ἡμῖν ἐφικτόν, καθὼς
life contains subject as-far-as the for-us attainable as
ἡ τῆς ἀληθείας εἶχε φύσις, ἀπήγγελται καὶ ἱστόρηται.
the of-the truth had nature has-been-reported and has-been-narrated

---